eul_wid: mlw-aj

*Ἀριστοφάνους Σχόλια* · Aristophanes Scholia

# Commentary-Birds

*Ὑπόμνημα εἰς Ὄρνιθας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

arg av 1 1 (1) ΥΠΟΘΕΣΙΣ ΟΡΝΙΘΩΝ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ Δύο εἰσὶν Ἀθήνηθεν ἐκκεχωρηκότες πρεσβῦται διὰ τὰς δίκας. πορεύονται δὲ πρὸς τὸν Τηρέα ἔποπα γενόμενον, πευσόμενοι παρ' αὐτοῦ, ποία πόλις ἐστὶν εἰς κατοικισμὸν βελτίστη. χρῶνται δὲ τῆς ὁδοῦ καθηγεμόσιν ὀρνέοις, ὁ μὲν κορώνῃ, ὁ δὲ κολοιῷ. ὀνομάζονται δὲ ὁ μὲν Πεισθέταιρος, ὁ δὲ Εὐελπίδης, ὃς καὶ πρότερος ἄρχεται. ἡ σκηνὴ ἐν Ἀθήναις. τὸ δρᾶμα τοῦτο τῶν ἄγαν δυνατῶς πεποιημένων. ΑΛΛΩΣ Τῆς τῶν Ἀθηναίων πολιτείας τὸ μέγιστον ἦν κλέος αὐτόχθονας γενέσθαι, καὶ αὕτη φιλοτιμία πρώτη τὸ μηδέπω μηδεμιᾶς πόλεως φανείσης αὐτὴν πρώτην ἀναβλαστῆσαι. [1]

arg av 2 1 (1) ἀλλὰ τῷ χρόνῳ ὑπὸ προεστώτων πονηρῶν καὶ πολιτῶν δολερῶν ἀνατέτραπτο, καὶ διωρθοῦτο πάλιν. ἐπὶ γοῦν τοῦ δεκελεικοῦ πολέμου, πονηρῶν τινων πραγμάτων ἐγχειρισθέντων, ἐπισφαλὴς γέγονεν ἡ παρ' αὐτοῖς κατάστασις. καὶ ἐν μὲν ἄλλοις δράμασι διὰ τῆς κωμικῆς ἀδείας ἤλεγχεν Ἀριστοφάνης τοὺς κακῶς πολιτευομένους, φανερῶς μὲν οὐδαμῶς, οὐ γὰρ ἐπὶ τούτου ἦν ἐκκλησία, λεληθότως δέ, ὅσον ἀνῆκεν ἀπὸ κωμῳδίας προσκρούειν. ἐν δὲ τοῖς Ὄρνισι καὶ μέγα τι διανενόηται. ὡς γὰρ ἀδιόρθωτον νόσον ἤδη τῆς πολιτείας νοσούσης καὶ διεφθαρμένης ὑπὸ τῶν προεστώτων, ἄλλην τινὰ πολιτείαν αἰνίττεται καὶ προεστῶτας ἑτέρους, ὡσανεὶ τῶν ὄντων κακῶν καθεστώτων· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸ σχῆμα ὅλον καὶ τὴν φύσιν, εἰ δέοι, συμβουλεύει μετατίθεσθαι πρὸς τὸ ἠρεμαίως βιοῦν. καὶ ἡ μὲν ἀπότασις αὕτη· τὰ δὲ κατὰ θεῶν βλάσφημα ἐπιτηδείως ᾠκονόμηται. καινῶν γάρ φησι τὴν πόλιν προσδεῖσθαι θεῶν, ἀφροντιστούντων τῆς κατοικίας Ἀθηναίων τῶν ὄντων καὶ παντελῶς ἠλλοτριωκότων ἑαυτοὺς τῆς χώρας. ἀλλ' ὁ μὲν καθόλου σκοπὸς τοιοῦτος· ἕκαστος δὲ τῶν κατὰ μέρος οὐκ εἰκῇ, ἀλλ' ἄντικρυς Ἀθηναίων καὶ τῶν παρ' αὐτοῖς ἐγχειριζομένων τὰ κοινὰ ἐλέγχει τὴν φαύλην διάθεσιν, ἐπιθυμίαν ἐγκατασπείρων τοῖς ἀκούουσιν ἀπαλλαγῆναι τῆς ἐνεστώσης μοχθηρᾶς πολιτείας. ὑποτίθεται γὰρ περὶ τὸν ἀέρα πόλιν, τῆς γῆς ἁπάσης ἀπαλλάσσων, ἀλλὰ καὶ βουλὰς καὶ συνόδους ὀρνίθων, ταῖς Ἀθηναίων δυσχεραίνων. ἀλλὰ καὶ ὅσα παίζει, ἐπίσκοπον ἢ ψηφισματογράφον ἢ τοὺς λοιποὺς εἰσάγων, οὐχ ἁπλῶς, ἀλλὰ γυμνοῖ τὰς πάντων προαιρέσεις, ὡς αἰσχροκερδείας ἕνεκεν χρηματίζονται. εἶθ' ὕστερον καὶ τοὺς θεοὺς τῶν Ἀθηναίων εἰς ἀπρονοησίαν κωμῳδεῖ. τὰ δὲ ὀνόματα τῶν γερόντων πεποίηται, ὡς εἰ πεποιθοίη ἕτερος τῷ ἑτέρῳ καὶ ἐλπίζοι ἔσεσθαι ἐν βελτίοσι. τινὲς δέ φασι τὸν ποιητὴν τὰς ἐν ταῖς τραγῳδίαις τερατολογίας ἐν μὲν ἄλλοις διελέγχειν, ἐν δὲ τοῖς νῦν τὴν τῆς Γιγαντομαχίας συμπλοκὴν

ἔωλον ἀποφαίνων ὄρνισιν ἔδωκε διαφέρεσθαι πρὸς θεοὺς περὶ τῆς ἀρχῆς. ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ Εὐελπίδης.

ind per av 1 (t) Πεισθέταιρος. θεράπων ἔποπος τροχίλος ὀνομαζόμενος. ἔποψ. ἀηδών. χορὸς ὀρνίθων. κῆρυξ. ἱερεύς. ποιητής. χρησμολόγος. γεωμέτρης. ἐπίσκοπος. ψηφισματοπώλης. ἄγγελος. ἕτερος ἄγγελος. Ἶρις. ἕτερος κῆρυξ. πατραλοίας. Κινησίας διθυραμβοποιός. πένης συκοφάντης. Προμηθεύς. Ποσειδῶν. Τριβαλλός. Ἡρακλῆς. οἰκέτης Πεισθεταίρου. Ὄρνιθες δρᾶμα κωμικὸν Ἀριστοφάνους τοῦτο, γραμματικὸς βυζάντι ει ος οὗπερ Ἀριστοφάνης ἔγραψε τὴν ὑπόθεσιν, ἣ κεῖται τῷ βιβλίῳ.

arg av 3 1 Τζέτζης τὸ δρᾶμα τοῦτο δε θειάζει καὶ ἐξαίρει, ὡς Λυσιστράτην, Ἀχαρνῆ εῖ ς, Εἰρήνην τὲ καὶ ἄλλα, ἕνεκα νοῦ καὶ πλάσματος καὶ ὅσα τούτοις πᾶσιν εἰσφέρει πρὸς παραίνεσιν καὶ πόλεσι καὶ δήμοις καὶ οἰκιῶν ἑκάστῃ δε πάνυ λυσιτελοῦντα, οὐ μὴν δὲ σκῶμμα φέροντα ψευδὲς ὡς τοὺς Ἱππέας κατὰ ἀρίστου στρατηγοῦ καὶ ῥήτορος πυρπνόου· οὐδὲ καλὸν τὸ δρᾶμα μεν φησὶν ὡς τοὺς Βατράχους, ἀρχήν δ’ ἀνοικονόμητον σατυρικὴν κεκτῆσθαι θυμέλης ἀγοραίας τε, ὀστράκοις κροτουμένης, Ξανθίαν ὃς ἀνάφορον τοῖς ὤμοις ἀναφέρει καὶ ἄλλα ἄλλοις τόποις δε· ἀλλ’ ὑπεξαίρει τοῦτο καὶ τὰ ῥηθέντα δράματα, ἕνεκεν ὧν εἰρήκειν, ὡς καὶ τὴν κωμῳδίαν δε Σωκράτους, τὰς Νεφέλας, λέγει δαιμονιώτατον, ἀμίμητον ὑπάρχειν πλάσει καὶ νῷ καὶ λέξεσι καὶ εἰσβολῇ καὶ πᾶσιν, οἷς οὐσιοῦσι ῥήτορες σῶμα πυρπνόου λόγου. τὴν τῶν Ὀρνίθων λέγει γράφει δὲ ὑπόθεσιν τοιῶσδε. πολλὰ οἰκονομούμενος ὁ κωμικὸς καὶ ῥήτωρ τὸ δρᾶμα συνετάξατο τοῦτο τὸ τῶν Ὀρνίθων, πρῶτα μὲν τὸ φῐλόμαχον χλευάζων Ἀθηναίων, τοὺς πρὸς ἐχθροὺς πολέμους τε καὶ μάχας πρὸς ἀλλήλους, προτρέπων πρὸς εἰρήνην τε καὶ ἡσυχίαν τούτους καὶ παραινεῖν δὲ φανερῶς αὐτοὺς οὐκ ἐξισχύων· ἦσαν γὰρ οἷοι πρὸς ὀργὴν ἀκάθεκτοι πρὸς φόνους. καὶ ἅμα λαθραιότατα σύρων καὶ Σοφοκλέα Τηρέως ἀπορνέωσιν γράψαντα καὶ τῆς Πρόκνης, φιλορνιθομανοῦντας τε τινὰς ἐξ Ἀθηναίων χῆνας, τρυγόνας, πέρδικας, ὄρτυγας καλουμένους καὶ ἄλλους ἄλλας κλήσεις δε τοῦ γένους τῶν ὀρνίθων, τινὰς καὶ πατραλοίας δε τῶν νέων ὑπηργμένους, καθάπερ οἱ ἀλέκτορες μάχονται σφῶν πατράσι, καὶ ἄλλα Ἀθηναίων δὲ μυρία ἐξελέγχων, ἀκαίρους ἀναλώσεις τε εἰς γεωμέτρας, μάντεις, εἰς ἐγκωμιογράφους τε καὶ ψηφισματογράφους, ἄλλας δαπάνας τε τινὰς εἰκαίους γινομένας. καὶ τὸ ἀειφιλόδικον τούτων ἐχθαίρων πλέον τοῦτο τὸ δρᾶμα γέγραφεν, οὗπερ ἡ πλάσις αὕτη. πλάττει τινὰ Πεισθέτερον ἅμα καὶ Εὐελπίδην μεγάλως δυσχεραίνοντας τοῖς ἀττικοῖς θορύβοις, ἥσυχον καὶ ἀπράγμονα πόλιν εὑρεῖν ζητοῦντας, καὶ βουλομένους ἀπελθεῖν εἰς ὄρνεις πρὸς Τηρέα, ὡς ἂν ἐκεῖνος δείξειε τούτοις τοιαύτην πόλιν, ᾗτε τὸ πρὶν ὢν ἄνθρωπος κατὰ τὸν Σοφοκλέα, νῦν δὲ περιιπτάμενος πᾶσαν ὡς ὄρνις χώραν. τοίῳ σκοπῷ πρὸς ὄρνιθας μέλλοντες ἀνατρέχειν ὁ Εὐελπίδης κολοιὸν τὸν ὁδηγοῦντα φέρει, κορώνην δὲ Πεισθέτερος, οἷσπερ ὁδηγηθέντες ἐκ παρακρήμνων πετρωδῶν ὀρῶν πρὸς τὸν Τηρέα περὶ τοιαύτης πόλεως ἐκεῖνον ἐρωτῶσι καὶ οἷος τίς ὑπάρχει δε ὁ βίος τῶν ὀρνέων· ὡς ἄνευ βαλαντίου δε ἤκουσαν ζῆν τοὺς ὄρνεις σισύμβρια ἐσθίοντας, μύρτα καὶ τὰ τοιαῦτα, ἡσθέντες τῇ ἀπράγμονι διατριβῇ τῇ τούτων καί γε συγκαταινέσαντες τὸν μετ’ ὀρνέων βίον, σύμβουλοι γίνονται Τηρεῖ πόλιν ἀέρι κτίσαι.

arg av 3 1 (50) ὡς τῇ βουλῇ δὲ σύγκλητοι πάντες οἱ ὄρνεις ἦλθον, τοὺς μὲν ἀνθρώπους ὡς ἐχθροὺς ἔμελλον πρῶτον κτείνειν· τοῦ τούτων δὲ βουλεύματος ἀκούσαντες ὑστέρως, ὡς ἦσαν πρῴην βασιλεῖς θεῶν τε καὶ ἀνθρώπων καὶ ἀρχαιότεροι Διὸς καὶ Κρόνου καὶ τῆς Γῆς δε, ἐξέστησαν τοῦ ἄρχειν δε οἰκείᾳ ῥαθυμίᾳ, εὐθὺς ἀνεπτερώθησαν πάλιν λαβεῖν τὸ κράτος. καὶ πόλιν πρῶτα κτίζουσιν ἐν μέσῳ τῷ ἀέρι μεγάλην καὶ περίβλεπτον, Νεφελοκοκκυγίαν· εἶτα κήρυκα στέλλουσι κάτω πρὸς τοὺς ἀνθρώπους ὄρνισι θύειν λέγοντα, μηκέτι τοῖς θεοῖς δε. μή πω καλῶς τῆς πόλεως ταύτης ἐξειργασμένης εὐθὺς ὑμνῶν τίς ποιητὴς ἀνέδραμεν ἐκείνην καὶ χρησμολόγος μετ’ αὐτόν, εἶτα καὶ γεωμέτρης καὶ μετ’ αὐτὸν ἐπίσκοπος καὶ ψηφισματογράφος καὶ ὅσα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀχληρότατα ταῖς πόλεσιν ὑπάρχει. εἶτα ὁ κῆρυξ ἄνεισιν ὁ προσταλεὶς ἀνθρώποις χρυσῷ στεφάνῳ στεφανῶν Πεισθέτερον ἐκ τούτων εἰς μετοικίαν λέγων τε πλείονας ἢ μυρίους ἐκ γῆς ἀνθρώπων ἀνελθεῖν καὶ πρὸς τὴν πόλιν μέλλειν· “καὶ τούτους δεῖ φροντίσαι σε πτερῶσαι κατ’ ἀξίαν.” καὶ ὃς τοὺς συκοφάντας μεν πτεροῖ πληγαῖς μαστίγων, τοὺς πατραλοίας νέους δε πτεροῖ ταῖς νουθεσίαις· εἶτα δὲ ὡς ἀλέκτορας ἐκείνους καθοπλίζει ἀντὶ πτερῶν ἀσπίδι μεν, ἀντὶ τοῦ ῥάμφους ξίφει καὶ περικεφαλαίᾳ δε ἀντ’ ἀλεκτόρων λόφου· οὕτω πτερώσας καὶ αὐτοὺς στρατεύεσθαι κελεύει καὶ ζῆν ἐκ τούτου καὶ γονεῖς πατροτυπτεῖν μὴ θέλειν. ἐξ οὐρανοῦ μετέπειτα κάτεισι καὶ Ἑρμῆς δε δηλῶν τῷ Πεισθετέρῳ μεν, ὅτι ὁ Ζεὺς λιμώττει σὺν γένει σύμπαντι θεῶν τῆς πόλεως κτισθείσης· “οὐδεὶς ἡμῖν γὰρ τοῖς θεοῖς ἔτι ἀνθρώπων θύει, καὶ νῦν πεινῶσιν οἱ θεοί, μέλλουσι πρέσβεις στέλλειν. ἄλλως ὑμεῖς δε τοῖς θεοῖς ἔνσπονδοι μὴ φανῆτε, εἰ Ζεὺς μὴ δῷ τοῖς ὄρνισι σκῆπτρον καὶ Βασιλείαν.” μετὰ τοὺς λόγους τοῦ Ἑρμοῦ ἱκνοῦνται καὶ οἱ πρέσβεις, ὁ Ποσειδῶν καὶ Ἡρακλῆς καὶ Τριβαλλὸς θεός τις· καὶ ἄλλως ὁ Πεισθέτερος οὐ σπένδονται καὶ ὄρνεις, ἕως οἱ πρέσβεις τῶν θεῶν ὑπέσχοντο τὸν Δία αὐτοῖς δοῦναι τοῖς ὄρνισι σκῆπτρον καὶ Βασιλείαν. ὁ νοῦς οὗτος τοῦ δράματος· τὰ πρόσωπα δ’ ὑπάρχει αὐτὸς ὁ Εὐελπίδης τε μετὰ τοῦ Πεισθετέρου, θεράπων ὁ τοῦ ἔποπος, ἔποψ ὁ καὶ Τηρεύς δε, χορὸς ὀρνίθων, ποιητής, καὶ ἱερεὺς σὺν τούτοις, καὶ χρησμολόγος σὺν αὐτοῖς, ἀλλὰ καὶ γεωμέτρης, ἐπίσκοπος, συνάμα δε καὶ ψηφισματογράφος, Ἶρις θεῶν ἡ ἄγγελος καὶ ἡμιχόριόν δε καὶ ἄγγελος καὶ κῆρυξ δε καὶ νέος πατραλοίας καὶ συκοφάντης πένης τις καὶ Προμηθεὺς καὶ πρέσβεις, ὁ Ποσειδῶν καὶ Ἡρακλῆς, θεὸς ὁ Τριβαλλός τε.

arg av 3 1 πρόσωπα εἴκοσι καὶ ἓν ταῦτα κατὰ τὸν Τζέτζην· ἄλλοι δὲ ὀκτωκαίδεκα φασὶ καὶ πεφυρμένως. ἡ μὲν σκηνὴ τοῦ δράματος ἐστὶν ἐν ταῖς Ἀθήναις, κατ’ ἄλλους δὲ ἐν ὄρεσι καὶ πέτραις καὶ ὀρνέοις, οἷς καὶ ὁ Τζέτζης συναινεῖ, τῶν δ’ ἄλλων ἀποτρέχει. SCHOLIA ET GLOSSAE AD ARG.

sch ad arg av 3 1 AV. III Βυζάντιος ὄνομα κύριονι, καὶ βυζάντιον τὸ νόμισμα λατινῶς καὶ Βυζάντιον ἑλληνικῶς τὸ ὑποκοριστικόν.

sch ad arg av 3 2 Βυζάντειος δὲ ὁ ἐκ Βυζαντείου, καὶ βυζάντειον ἄστυ, καὶ ἄνευ τοῦ “ἄστυ” Βυζάντειον, ἡ πόλις, δίφθογγον. οὐ γὰρ ἡ τοσήδε καὶ τοιάδε πόλις Βυζαντίδιόν ἐστιν. Ἀχαρνῆς, ἱππῆς, βασιλῆς ἀττικῶς ἦτα, καὶ πάντα τὰ ὅμοια.

sch ad arg av 3 5 οἱ Ἡρακλεῖς δέ, Δημοσθένεις καὶ Ἀντισθένεις, καὶ ὅσαι τοιαῦται κύριαι κλήσεις, διὰ διφθόγγου ἐκφέρονται τῆς γραφῆς. στρατηγοῦ] τοῦ Κλέωνος.

sch ad arg av 3 40 ἐχθαίρων] φαυλίζων. κελεύεις κτλ.

sch av 1a ] ὁ τὸν κολοιὸν κρατῶν πρὸς τὸν κολοιόν φησιν. πεποίηται τὰ ὀνόματα τῶν πρεσβυτέρων τὸ μὲν παρὰ τὸ “πείθεσθαι”, τὸ δὲ παρὰ τὸ “εὖ” ἔχειν τὰς “ἐλπίδας”.

sch av 2a* διαρραγείης] πρὸς τὴν κορώνην. ἥδε] ἡ κορώνη.

sch av 3 πλανύττομεν] πλανώμεθα. ἄλλως] μάτην.

sch av 4b τὴν ... προφορουμένω p.i.m.] δεῦρο κἀκεῖσε· ἀπὸ μεταφορᾶς τοῦ στήμονος. πλεῖν] πλέον ἀττικῶς.

sch av 8 ἀποσποδῆσαι] ἀποκροῦσαι, ἀφανίσαι. ἐντευθενὶ] εἰρωνεία.

sch av 11 mrg., tunc 11] τοῦτον ὡς ξένον διαβάλλουσι καὶ πλάνον τὰς ὁδοὺς γινώσκειν· οἱ γὰρ ξένοι μᾶλλον ἴσασι τὰς ὁδούς. σὺ μὲν κτλ.

sch av 12 ] παίζων φησί· τουτέστι τὴν εἰς τὸ “οἴμοι” ὁδὸν βάδιζε. τὸν μὲν Θαρρελείδου] διασύρει τοῦτον ὡς μικρὸν τῷ σώματι.

sch av 26*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βρύκους’] παρὰ τὴν βοράν· οἱονεὶ βορύκουσα. ἐς κόρακας ἐλθεῖν] παίζει, ἐπεὶ εἰς τὰ ὄρνεα βούλονται ἐλθεῖν.

sch av 30* ἐν λόγῳ] ἐν τῇ ὑποθέσει. Σάκας ὁ Ἀκέστωρ· οὗτος τραγωδίας ποιητής· ἐκαλεῖτο δὲ Σάκας διὰ τὸ ξένος εἶναι· Σάκες γὰρ ἔθνος θρᾳκικόν.

sch av 35 ἀπὸ μεταφορᾶς τῶν ὀρνέων· καὶ τὸ “ἀμφοῖν ποδοῖν” ἐκ τῶν ὀρνέων· ἀμφοῖν πτεροῖν. μεγάλην p.

sch av 37 i.m.] διασύρει τὸ φιλόδικον καὶ τὴν συκοφαντίαν. ἢ ἵνα θύσωσιν, ὅπου μέλλωσιν οἰκῆσαι· ἢ πρὸς ἀποσόβησιν τῶν ὀρνέων.

sch av 43 ἀντὶ ὅπλου μὲν τὸ κανοῦν, ἀντὶ περικεφαλαίας δὲ τὴν χύτραν, τὰς μυρρίνας δὲ πρὸς ἄμυναν. ἀπράγμονα] ἀτάραχον.

sch av 45* καθιδρυθέντε] κτίσαντες. ὁ δὲ στόλος] καὶ ἡ πορεία.

sch av 52* ὄρνεα] ἀλλ’ εἰσὶν δηλονότι. τί] δεινόν.

sch av 59b* με] εἰς. κόπτειν] ἐν τῷ.

sch av 63a οὕτω ’στι δεινόν] πρᾶγμα· οἱ ὀρνιθοθῆραι. οὐδὲ κάλλιον λέγειν p.

sch av 63b i.m.] οὐδὲ λέγειν σε τοῦτο κάλλιόν ἐστιν, ὅτι ἐσμὲν ὀρνιθοθῆραι. (ὑποδεδιὼς ⁒ ) ἔπλασε τὸ ὄνομα· λιβυκὸν δέ, ἐπεὶ οἱ Λίβυες βάρβαροι καὶ δειλοί· ἢ ἐπεὶ πολύορνις ἡ Λιβύη.

sch av 66 καὶ μὴν ... ποδῶν] διότι ἀπεπάτησεν ὡς ὄρνεον. (ἐπικεχοδὼς ⁒ ) καὶ τοῦτο ὡς ὄρνιθος ἔπαιξε διὰ τὸ φαίνεσθαι αὐτὸ τὸ σκῶρ.

sch av 69 ἀλλὰ ... θηρίον] δέον εἰπεῖν “ὄρνις”· πρὸς τὸ τεράστιον δὲ εἶπε “θηρίον”. (ἡττήθης ⁒ ) ἐπεὶ ὁ ἡττηθεὶς ἀλεκτρυὼν ἀκολουθεῖ τῷ νενικηκότι.

sch av 76 φαληρικὰς] Φαληρεὺς λιμὴν τῆς Ἀττικῆς. ἔτνους] ἀθάρας.

sch av 78b τορύνης] τὸ κινητήριον τῆς χύτρας. 82] σέρφος σκωληκῶδες ζωΰφιον 〈ἢ μυρ〉 μηκῶδες· ταῦτα νέμονται τὰ ὄρνεα.

sch av 84* σφῶϊν] ἡμῶν. (κακῶς ⁒ ) πρὸς τὸν θεράποντα τοῦ ἔποπος λέγει εἰσελθόντα καὶ κεχηνότα.

sch av 92 ἄνοιγε τὴν ὕλην] “τὴν πύλην”· ἢ δέον εἰπεῖν “τὴν θύραν”· ἀλλ’ ἐπεὶ ἐν ὕλαις οἱ ὄρνεις. ἥξασιν] παρεγένοντο.

sch av 100 100] ἐν γὰρ τῷ Τηρεῖ Σοφοκλῆς ἐποίησεν αὐτὸν ἀπωρνιθώμενον καὶ τὴν Πρόκνην. πότερον .

sch av 102a .. ταώς] ἔπαιξε δέον εἰπεῖν “ἄνθρωπος”. (int.

sch av 102b ταὼς ⁒ ) ἢ τὸ γενικὸν εἰπών, εἶτα ἐπήγαγε τὸ εἰδικόν. ἐξερρύηκε] παρόσον ἄνθρωπος ἐλήλυθε μὴ ἔχων πτερὰ πλὴν τῆς κεφαλῆς.

sch av 108* ὅθεν] ἀφ’ οὗ. μῶν ἡλιαστά] δικαστήριον ἐν Ἀθήναις.

sch av 109b (Ἀθήναις ⁒ ) οὕτω δὲ ἐκλήθη διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι. ἀπηλιασταί] φιλόδικοι.

sch av 111 ὀλίγον ... λάβῃ] παρόσον οἱ ἀγροικικοὶ μισόδικοι. ξυγγενέσθαι] συνομιλῆσαι.

sch av 123 διὰ τὸ τραχύ· ἢ ἀπό τινος βασιλέως Κραναοῦ. προσφορωτέραν] λυσιτελεστέραν.

sch av 125 ἀριστοκρατεῖσθαι] καὶ ἔχειν ἀρίστους δημαγωγούς. τὸν Σκελλίου] υἱόν· διότι ἐλέγετο Ἀριστοκράτης.

sch av 131* ὅπως] θέλησον. ἑστιᾶν] εὐτρεπίζειν.

sch av 135* ταλαιπώρων γε πραγμάτων] τρυφηλῶν, καλῶν πραγμάτων. 139] ὦ λαμπρέ, ἀπὸ βαλανείων κεκαλλωπισμένε.

sch av 141 οὐ προσηγάγου] πρὸς ἑαυτόν. οὐκ ὠρχιπέδησας] οὐ τῶν ὄρχεων ἥψω.

sch av 143a*

ὦ δειλακρίων] κατ’ ἄκρας δειλέ. τῶν κακῶν] τρυφηλῶν.

sch av 146* ἀνακύψεται] ἀνακύψει. (ἕωθεν ⁒ ) ἤγουν εἰς κρίσιν.

sch av 147 δύο ἦσαν νῆες παρὰ τοῖς Ἀθηναίοις ὑπηρέτιδες, Πάραλος καὶ ἡ Σαλαμινία· ὧν ἡ Σαλαμινία τοὺς ἐρχομένους εἰς κρίσιν ἦγεν, ἡ δὲ Πάραλος ... (int.

sch av 150 ) ἐξ ἀκοῆς μαθών. (int.

sch av 151 ) Μελάνθιος ὁ τραγικὸς κωμῳδεῖται λεπρὸς καὶ κακοπράγμων. χρὴ κατοικεῖν] ὑμᾶς.

sch av 156a ἄχαρις] ἀχαρίτωτος. συνοίκησιν· ἀπὸ μεταφορᾶς τῶν εὐυφῶν ἱματίων τῶν ὑπουργούντων εἰς τρίψιν καὶ φόρεσιν πολλοῦ χρόνου.

sch av 158a* ἀφεῖλες] ἀπέκοψας. (κιβδηλίαν ⁒ ) τὸν ἐκ τοῦ ἀργυρίου ῥῦπον· διότι δὲ καὶ τὰ νομίσματα κίβδηλα λέγεται.

sch av 158b κίβδηλον κυρίως τὸ ὑπὸ κιὸς δεδηλημένον. λευκὰ σήσαμα p.

sch av 159 i.m.] φύλλα ἐρυθρά, οἷς στεφανοῦνται οἱ νυμφίοι. φεῦ φεῦ] θαυμαστικόν.

sch av 164* ὅ τι] εἰς. ὡς] ὅτι.

sch av 167 τοὺς πετομένους ἢν ἔρῃ] ἢ περὶ τῶν πετομένων. ὁ Τελέας] διασύρει τὸν Τελέαν.

sch av 168b* ταδί] ταῦτα. πετόμενος] ἐρώτησις.

sch av 171* μωμᾷ] ψέγεις. περίαγε τὸν τράχηλον] ἔνθεν κἀκεῖθεν, ὡς καὶ τὰ ἐν κύκλῳ ἰδεῖν.

sch av 177* ἀπολαύσομαι] ὠφεληθῶ. (πόλος ⁒ ) πόλον οἱ παλαιοὶ οὐχ ὡς οἱ νεώτεροι σημεῖόν τι καὶ πέρας ἅλωνος, ἀλλὰ τὸ περιέχον ἅπαν.

sch av 185 (παρνόπων ⁒ ) εὐχείρωτοι οἱ πάρνοπες· ἔστιν εἶδος ἀκρίδων ἢ κωνώπων. (corp.

sch av 186 ) ἐν τοῖς Πελοπονησιακοῖς Νικίαν πέμψαντες Ἀθηναῖοι κατὰ πάντων Μηλιέων ἐπὶ τοσοῦτον ἐπολιόρκησαν αὐτούς, ὥστε λιμῷ διαφθεῖραι· διὰ τὸ ἀποστῆναι αὐτῶν πρῴην ὑποτελῆ οὖσαν. (corp.

sch av 189a ) πολέμιοι ἦσαν οἱ Βοιωτοὶ τοῖς Ἀθηναίοις συμβάλλοντες Λακεδαιμονίοις διὰ Δεκέλειαν μαχόμενοι· ὅτε οὖν θέλουσιν Ἀθηναῖοι εἰς Πυθὼ ἀπελθεῖν, δηλοῦσι Βοιωτοῖς παρακαλοῦντες ὑποχωρεῖν τῆς ὁδοῦ. (corp.

sch av 189b ) ἄλλως : τινές φασι μεταξὺ Πυθοῦς καὶ Ἀττικῆς εἶναι τὴν Βοιωτίαν, καὶ οὐχ οἷόν τε ἀπελθεῖν Ἀθηναίους εἰς Πυθώ, εἰ μὴ παρέλθωσι Βοιωτίαν. παίζει δέ· μόνον γὰρ τότε δίοδον ζητοῦσιν, ὅταν στράτευμα διάγῃ, ὅταν δὲ ὀλίγοι καὶ εἰρηνικοί, οὐκέτι. διαφορήσεται] διαπέμψεται.

sch av 194 (corp.) νεφέλη εἶδος δικτύου θηρατικοῦ. οὕτω δὲ τὰ προστυχόντα ὤμνυον. ἀνθρώπων] γράφεται “ὀρνίθων”.

sch av 209* σύννομε] σύμβιε. λῦσον] ᾆσον.

sch av 212 ἐμὸν καὶ σὸν] λείπει παῖδα. ξουθῆς] λεπτῆς, ἁπαλῆς, ὑγρᾶς· πυρρᾶς, ξανθῆς.

sch av 214b* χωρεῖ] ὁρμήσει. ἐλέγοις] θρήνοις.

sch av 224* οἷον] καὶ πῶς· θαυμαστικόν. μιμούμενος τὴν φωνὴν τῶν ὀρνέων προσκαλεῖται αὐτά.

sch av 240 κοτινοτράγα p.i.m.] τὰ ἐσθίοντα κότινον ἤγουν τὸν κάρπον τῆς ἀγριελαίας. (int.

sch av 242 ) μιμεῖται ἑκάστου γένους ὀρνέου φωνήν. (inter columnas) ἑλώδεις τόπους.

sch av 244 ζῷόν ἐστιν ὕδασι γινόμενον ὅμοιον τῷ κώνωπι, μεῖζον δὲ τῇ περιοχῇ, κατὰ τὸ μέσον λευκῷ περιεζωσμένον. κάπτεθ’] ἐσθίετε.

sch av 248 πτεροποίκιλος] ἔχων. (ἀτταγᾶς ⁒ ) τὰ γὰρ λιμνώδη καὶ λεῖα χωρία καταβόσκεται ὁ ἀτταγᾶς.

sch av 252 νεώτερα] πράγματα. ταναοδείρων p.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch av 254 i.m.] τὸ μερικὸν ἐπὶ πάντων ἔταξεν· οὐδὲ γὰρ πάντα ταναόδειρα τὰ ὄρνεα. δριμὺς] συνετός, ὀξύς.

sch av 256 καινὸς γνώμην] οἷον νέαν γνώμην ἐξηγούμενος. κικκαβαῦ κικκαβαῦ] τὰς γλαῦκας οὕτω φωνεῖ〈ν λέγουσιν〉· ἕτεροι δὲ λέγουσι τὰς χαλκί〈δασ〉 ἢ ἕτερα.

sch av 265* ἄλλως] μάτην. (χαραδριὸν ⁒ ) ἐπεὶ αἱ χαράδραι τρόπον τινὰ διὰ τῶν ῥευμάτων μελῳδίας ποιοῦνται· ἢ ὁ χαραδριὸς ζῷον μεταβαλλόμενον εἰς τὰ προκείμενα.

sch av 266 “ἐπῷζεν” ἐστὶ τὸ ἐπὶ τοῖς ᾠοῖς καθῆσθαι. τοροτὶγξ τοροτὶγξ] ἢ ζῴου τινὸς ἢ τοῦ ἔποπος.

sch av 270 οὗτος] ὁ ἔποψ. παρὰ τὴν “φοίνικος” γενικὴν “φοινικόεις” ἐν ὑπερθέσει καὶ “φοινικοῦς”.

sch av 272b φοινικοῦς] ἐν συναιρέσει· πυρρός. ἔξεδρον] ἀλλοδαπός.

sch av 275b (χώραν ⁒ ) ἡ ἀρχὴ ἐκ τοῦ Σοφοκλέους. 276 p.

sch av 276 i.m.] ὁ κομπώδης· τοιοῦτοι γὰρ οἱ μάντεις· ἄτοπος δὲ διὰ τὸ τερατῶδες. mrg.

sch av 278 , tunc εἶτα πῶς] ὡς τῶν Μήδων ἐπὶ πολὺ ἐπὶ καμήλων ὀχουμένων. Φιλοκλέους] ἐκ τοῦ καὶ ἔποπος.

sch av 286* αἵ … προσεκτίλλουσιν] διασύρει τὸν Καλλίαν ὡς λάγνον. κατωφαγᾶς p.

sch av 288 i.m.] ὄρνεον ὀρύσσον τὰ σπέρματα. ἀπέβαλε τὸν λόφον] ῥίψασπις γὰρ ἦν.

sch av 292 (ἢ ⁒ ) ἐπεὶ οἱ διαυλοδρομοῦντες εἶχον λόφον ἐπὶ τῆς κεφαλῆς. (corp.

sch av 299a ) ὁ ἄρσην ἀλκυὼν κειρύλος λέγεται· ἐν δὲ ταῖς συνουσίαις ἀποθνῄσκει. ὁ δὲ Σποργίλος κουρεὺς ἦν· διαβάλλει δὲ τοῦτον ὡς εὐτελῆ. (corp.

sch av 299b ) Ἀντίγονος· τοὺς ἄρρενας τῶν ἀλκυόνων, 〈οὓσ〉 γηράσκοντας αἱ θήλειαι βαστάζουσι τοῖς πτεροῖς. μήποτε δὲ παρὰ τὸ “κείρειν” ἐσχημάτισε τὸν Σποργίλον· κουρεὺς γὰρ ἦν. μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Σοφισταῖς τὸ Σποργίλου κουρεῖον, ἔχθιστον τέγος. Σποργίλος] κουρέα εἶχον τοῦτον.

sch av 301 (corp.) τίς γλαῦκα : διότι εἰσὶ πολλαὶ γλαῦκες εἰς τὰς Ἀθήνας· οὐ μόνον γὰρ ζῷα, ἀλλὰ καὶ εἰς τὰ νομίσματα ἐντετυπωμέναι. ἔστι δὲ παροιμία ἐπὶ τῶν μάτην ἐπισωρευόντων τινὰ τοῖς προσυπάρχουσιν, οἷον εἴ τις ἐν Αἰγύπτῳ σῖτον ἀπάγει ἢ ἐν Κιλικίᾳ κρόκον. τῶν κοψίχων] τῶν κοπτόντων διὰ τησρ.

sch av 316* πρὸς ἐμὲ φίλον] ἀπὸ κοινοῦ τὸ “παρ〈εἶναι〉”. (κοινὸν ⁒ ) κοινωφελῆ, τουτέστιν ἀληθῆ καὶ σφαλῆναι μὴ δυνάμενον.

sch av 318 (λεπτὼ ⁒ ) λεπτοὶ εἰς τὸ λογίσασθαι. (ποῦ ⁒ ) διαταράττονται ἀκηκοότες παρεῖναι· ὑποπτεύουσι γὰρ αὐτοὺς ὀρνιθοθήρας.

sch av 321 (ἥκετον ⁒ ) στέλεχος καὶ ῥίζαν καὶ ὑπόθεσιν μεγάλην πράγματος, ὅ ἐστι χρήσιμόν τι, εἰσηγούμενοι. διαφορηθῆναι] διασπασθῆναι.

sch av 342* ἐκκοπῇ] ἐκβληθῇ. ῥύγχει] στόματι.

sch av 353 ἐπαγέτω … κέρας] προηγείσθω ὡς ἐπὶ πολέμου. διαφορηθῶ] διασπασθῶ.

sch av 358 (γλαὺξ ⁒ ) διὰ τὸ ἀττικὸν εἶναι τὸ ζῷον· Ἀττικοὶ δὲ καὶ αὐτοί. ὀξύβαφον] σκεῦος μεῖζον τρυβλίου.

sch av 363 (ὑπερακοντίζεις ⁒ ) φρονιμώτατα γὰρ ὁ Νικίας καὶ λιμῷ, πεμφθεὶς ὑπὸ Ἀθηναίων, Μηλίους ἀνεῖλεν. (ἐλελεῦ ⁒ ) ἐπίφθεγμα πολεμικόν· οἱ προσιόντες γὰρ εἰς πόλεμον ἐφώνουν τὸ “ἐλελεῦ” μετά τινος ἐμμελοῦς κινήσεως.

sch av 369* φεισόμεθα γάρ α′ τι τῶνδε ε′ μᾶλλον γ′ ἡμεῖς β′ ἢ λύκων. δ′ οἵ γ′] οὗτοι.

sch av 378*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτίχ’] τὸ “αὐτίκα” ὡς ἐν παραδείγματι. τὸ ἑξῆς· ἔστι χρήσιμον τὸ ἀκοῦσαι ἡμᾶς αὐτῶν, ἐφ’ ὅτῳ ἐληλύθασιν.

sch av 383a εἴξασιν] ἐοίκασιν. (ἐπὶ σκέλος ⁒ ) ὑπαναχώρει.

sch av 387* τῷ τε τρυβλίῳ] σύν. (οὐ φευκτέον ⁒ ) οὔτε φεύγειν οὔτε ἀπαρασκευάστους δέον εἶναι ἡμᾶς.

sch av 399 (ἐν Ὀρνεαῖς ⁒ ) τόπος, εἰς ὃν ἐγένετο πόλεμος Λακεδαιμονίων καὶ Ἀργείων. κατάθου] ῥίψον.

sch av 402 παρὰ τὴν ὀργὴν p.i.m.] παρὰ τὸ ὁμηρικὸν “ἀσπίσι κεκλιμένοι”. κἀναπυθώ] καὶ κατὰ δεύτερον ἐρώτησον.

sch av 405* ἐπίνοιαν] λογισμόν. ἔποψ .

sch av 406* .. καλῶ] ὦ· στρατιωτικόν. τύχη] σύμβαμα.

sch av 410b* κομίζει] φέρει. καὶ .

sch av 414 .. πᾶν] εἰς τὸ πᾶν τῆς ζωῆς. ἄπιστα] θαυμαστά.

sch av 417* ὁρᾷ τί] φαίνεται. ὅτῳ] καὶ ᾧτινι.

sch av 420* ἔχειν] δύνασθαι. ὄλβον] εὐδαιμονίαν.

sch av 422a* πιστόν] πιθανόν. ὡς] ὅτι.

sch av 424 τὸ … κεῖσε] ἤγουν ὁ οὐρανὸς καὶ ἡ γῆ. δεῦρο] νῦν.

sch av 425b (προσβιβᾷ ⁒ ) ἤγουν πείθει καὶ βεβαιοῖ· ἢ ἀντὶ τοῦ “ἐφαρμόζει”, “συμβιβάζει”. ἄφατον p.

sch av 427 i.m.] ὡς ἄφατον, φησί, καὶ 〈μέγιστον〉 φρονῶν ταῦτα λέγει. (πυκνότατον ⁒ ) ἤγουν φρόνησις· ἀπὸ κοινοῦ τὸ “ἔνεστι”.

sch av 429b* κίναδος] τό. κύρμα] ἐπιτυχία.

sch av 430b* τρίμμα] ἐμπειρία. παιπάλημ’] λεπτὸν 〈ἄλευρον〉.

sch av 431 κέλευέ μοι λέγειν] αὐτῷ λέγειν. κλύων] ἐγώ.

sch av 433 ἀνεπτέρωμαι] μετεωρίζομαι. (corp.

sch av 436 ) ἰπνὸς ἡ κάμινος· καταχρηστικῶς δὲ ἡ ἐσχάρα. ἐπιστάτη δὲ θηλυκῶς χαλκοῦς τρίπους χυτρόποδος ἐκτελῶν χρείαν· οἱ δὲ πήλινον Ἥφαιστον πρὸς ταῖς ἑστίαις ἱδρύμενον ὡς ἔφορον τοῦ πυρός· ἔνιοι δὲ ξύλον ἐπίμηκες πεπασσαλωμένον, εἰς ὅπερ ἐξαρτῶσι τὰ μαγειρικὰ σκεύη. τάδ’] ἐκεῖνα.

sch av 439* διάθωνται] διαθήκην ποιήσωσιν. διατίθεμ’] διαθήκην ποιῶ.

sch av 445 ὄμνυμ’] εὔχομαι. (corp.

sch av 447a ) ταῦτα ὁ ποιητής· εἰ μὴ πάντας νικήσω, τέως ἐν ἑνὶ κριτῇ ἤγουν ἔλαττόν τι. εἰ δὲ παραβαίην] εἰ μὴ πάντας νικήσω.

sch av 449 (ἀνελομένους ⁒ ) ὡς τῶν πολεμίων σπεισαμένων ὁ κῆρυξ εἰρήνην κηρύσσει. (corp.

sch av 450a ) ἔθος ἦν τοὺς ταξιάρχας διὰ κήρυκος ἀπαγγέλλειν τοῖς στρατιώταις τὰ δεδογμένα. ἐν τοῖς πινακίοις p.

sch av 450b* i.m.] προγράμμασιν· ἐν τοῖς νόμοις. παρορᾷς] παρεπινοεῖς ἢ εὑρίσκεις.

sch av 456 παραλειπομένην … φρενὸς] ἣν ἡμεῖς οὐ νοοῦμεν. (int.

sch av 461 μὴ ⁒ ) πρὸ καταγνώσεως οὐ παρασπονδήσομεν. προπεφύραται] ηὐτρέπισται.

sch av 462b (προπεφύραται ⁒ ) ἡ μεταφορὰ ἀπὸ τῶν τὰ ἄλευρα φυρόντων, εἶτα μάζας ποιούντων. (corp.

sch av 462c ) παίζει ὥσπερ ἐπὶ δείπνου λέγων, καίτοι λόγῳ μέλλων αὐτοὺς εὐωχεῖν. (corp.

sch av 463a ) τοῖς γὰρ εὐωχουμένοις περιέκειντο οἱ στέφανοι καταψύχοντες τὸ κρανίον ἀπὸ τῆς οἴνου θέρμης. διαμάττειν] μαλάσσειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch av 465 (corp.) πολλῇ τῇ τροπῇ ἐπέμεινε τῆς εὐωχίας· ὡς ἐπὶ βοὸς δὲ τοῦτό φησιν, ὡς ἐν Λαρίσσῃ μεγάλων βοῶν γινομένων· ἔστι δὲ πόλις Θεσπρωτίας. ἢ λαρινὸν τὸ λιπαρόν· λέγονται γὰρ βόες λαρινοὶ οἱ λιπαροὶ ἢ μεγάλοι, ἀπὸ Λαρινοῦ τινος νομέως εὐμεγέθους· νέμονται δὲ τὴν Ἤπειρον οὖσαι τῶν Γηρυόνου βοῶν ἀπόγονοι. κατορύξαι] ἀρχῆς τὸ τέλος. [5]

sch av 486 διαβάσκει] διέρχεται. τὴν κυρβασίαν] τὴν τιάραν, τὸν λόφον.

sch av 487b (corp.; κυρβασίαν ⁒ ) τοῖς μὲν γὰρ ἄλλοις ἔθος καὶ ἐπτυγμένην καὶ προβάλλουσαν εἰς τὸ μέτωπον ἔχειν, τοῖς δὲ βασιλεῦσιν ὀρθήν. (ὑπὸ ⁒ ) κοκκύζειν δέ, ὅταν παρ' ἑαυτῷ μετὰ νίκην τῆς μάχης ᾄσῃ.

sch av 491a ἀλφιταμοιβοὶ] οἱ ἔμποροι. τορνευτασπιδολυροπηγοί] ποιοῦντες τὰς λύρας καὶ τὰς ἀσπίδας.

sch av 494 (ἐς ⁒ ) ὅτι τὴν δεκάτην εἱστίων ἐπὶ τοῖς γεννηθεῖσι καὶ ἐν αὐτῇ τὰ ὀνόματα ἐτίθεντο τοῖς παισίν. καὶ κάθευδον] ἤγουν εἰς ἀρχὴν δείπνου.

sch av 496 Ἀλιμουντάδε] δῆμος τῆς Λεοντίδος φυλῆς. (κἀγὼ ⁒ ) ἀφείλετο· κυρίως δὲ ἐπὶ τῶν γάλα ἀμελγόντων ἢ κηρίων.

sch av 501 (προκυλινδεῖσθαι ⁒ ) ἔαρος ἀρχομένου 〈ἴκτινοσ〉 φαίνεται εἰς τὴν Ἑλλάδα, ἐφ' ᾧ ἡδόμενοι κυλίνδονται. κατεβρόχθισα] κατέπιον.

sch av 503b* κενὸν p.i.m.] ἀπῆλθε γὰρ εἰς τὸ ὠνήσασθαι χρειώδη τινά. (τοῦτ' ⁒ ) ἔστι παροιμία παρὰ Φοίνιξι "κόκκυ ψωλοὶ πεδίονδε", ἀντὶ τοῦ "κόκκυγος κράζοντος τὸ πεδίον θερίζομεν".

sch av 511* οὐκ ᾔδη] οὐκ ᾔδειν ἀττικῶς. θυγάτηρ] ἡ Ἀθηνᾶ.

sch av 521 (Λάμπων ⁒ ) Ῥαδάμανθυς γὰρ δικαιότατος ἀνθρώπων γενόμενος πρῶτος ἐκώλυσε μηδένα ἀνθρώπων ὅρκους ποιεῖσθαι κατὰ θεῶν, ἀλλ' ὀμνύναι κελεῦσαι χῆνα καὶ κύνα καὶ κριόν. ὁ δὲ Λάμπων θύτης ἦν, χρησμολόγος καὶ μάντις· ὤμνυε δὲ κατὰ χηνὸς ὡς μαντικοῦ. Μανᾶς] δούλους.

sch av 527 παγίδας ... ἕρκη] εἶδος δικτύου, ὃ χρίουσιν ἰξῷ. πηκτάς] εἶδος δικτύου.

sch av 530 (βλιμάζοντες ⁒ ) Καλλίστρατος· ἀντὶ τοῦ ψηλαφᾶν· κυρίως δὲ βλιμάζειν τὸ τοῦ ὑπογαστρίου καὶ τοῦ στήθους ἅπτεσθαι. Δίδυμος δὲ ἀντὶ τοῦ "κρατοῦντες"· ἀποτίλλουσι γὰρ καὶ κατεσθίουσιν. 533] ἐπιβάλλουσι συντρίψαντες· παρὰ τὸ κναίειν τὸ διαφθείρειν.

sch av 534 (σίλφιον ⁒ ) τὸ σίλφιον ῥίζα ἡδύοσμος πρὸς τὸ ἄρτυμα, ὅπερ ἐν Λιβύῃ γίνεται· θεραπεύει δὲ πολλά· ἔστι δὲ πολυτίμητον. 535] ζωμόν, παρὰ τὸ χέεσθαι· γλυκὺ δὲ μέλιτι δεδευμένον.

sch av 538 (ὥσπερ ⁒ ) κατὰ ἐναλλαγὴν 〈ἀντὶ τοῦ〉 νεκριμαίων, ὡς τῶν θνησιμαίων κρεῶν ⟦ ὥσπερ κενεβρίων ⟧ ποικιλοτέρας ἀρτύσεως 〈δεομένων〉. ἢ κενέβρια ἐκάλουν τὰ θνησιμαῖα. πολὺ 〈δὴ〉 χαλεπωτάτους] λυπηρούς· χαλέψαι δυναμένους.

sch av 540a* ὡς] λίαν. καταβοῶσι τῶν πατέρων 〈ὡσ〉 ἀπολυσάντων τὴν βασιλείαν.

sch av 541* κάκην] ταλαιπωρίαν. ἀναθεὶς] ἀνατίθημι.

sch av 547 mrg., tunc τά τε ... κἀμαυτὸν] 〈ὡσεὶ〉 εἶπεν· ἐμὲ καὶ τὰ τέκνα μου ἀνατίθημί σοι ὥστε διοικεῖν. (εἶναι ⁒ ) μίαν ὀφείλετε πόλιν ἔχειν.

sch av 551 γῆς καὶ οὐρανοῦ. καὶ ἡ Βαβυλὼν δὲ ἀπὸ πλίνθων ὀπτῶν ἐκτίσθη καὶ ἀντὶ τοῦ γύψου ἀσφάλτῳ συνεδέθη· ἡ Σεμίραμις δὲ αὐτὴν ἔκτισεν.

sch av 555a* φῇ] συγκατατεθῇ, συγκατανεύσῃ. γνωσιμαχήσῃ] διαλέξεται, λογοτριβήσῃ.

sch av 556a* ἱερὸν] μέγαν. πρωυδᾶν] προλέγειν.

sch av 556c* ἀπειπεῖν] ἀπαγορεῦσαι. Ἀλόπη Κερκύονος θυγάτηρ· ηὔξησε δὲ τὴν διαβολὴν διὰ τοῦ πληθυντικοῦ.

sch av 562

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ λοιπὸν] πρὸ τῶν θεῶν. προσνείμασθαι] παρασχεῖν.

sch av 565 φαληρὶς ὄρνεον λιμναῖον εὐπρεπές. νήττη .

sch av 566 .. καθαγίζειν] ἐπεὶ ἔνυδρον τὸ ζῷον. διὰ τὴν ἀδδηφαγίαν τοῦ Ἡρακλέους εἶπε τὸν λάρον.

sch av 568 διὰ τὰς μοιχείας τοῦ ⟦ λήρου ⟧ Διὸς εἶπε τὸν ὀρχίλον. σέρφον ἐνόρχην] λέγεται καὶ κριὸς ὁ σέρφος.

sch av 572a* οἳ πετόμεσθα] παρέμπτωσις. πτέρυξ λέγεται τὸ ὅλον, πτερὺξ δὲ τὸ ἄκρον.

sch av 575* Ἶριν] ἄγγελος τῶν θεῶν. ἀνακάψαι] φαγεῖν.

sch av 580 μετρείτω] παρεχέτω. μὰ Δί’] διδόναι πυρούς.

sch av 582* καταροῦσι] ἀροτριοῦσι. ἀποδῶμαι] πωλήσω.

sch av 590* κνῖπες] εἶδος ζωϋφίων μικρῶν. ἀναλέξει] συνάξει.

sch av 594a* κερδαλέας] ἐπικερδεῖς. κατεροῦσι] ἀκριβῶς.

sch av 595* τῶν ναυκλήρων] ἀπό. ἔσται] γενήσεται.

sch av 598a γαῦλον] γαῦλος φοινικικὸν πλοιάριον. κτῶμαι] ἀγοράζω.

sch av 601 παροιμία· “οὐδείς με θεωρεῖ πλὴν ὁ παριπτάμενος ὄρνις.” ἢ ἄλλως : “οὐδεὶς οἶδε, τί ὡμίλησα, πλήν γε εἴ τις ὄρνις.” ἐλέγετο δὲ ἐπὶ τῶν ἀποκρύφων. ἐπεὶ ἐν ὑδρίαις ἔκειντο οἱ θησαυροί, τὰ λεγόμενα παρ’ ἡμῖν θησαυράρια.

sch av 605* ἀτεχνῶς] ἀληθῶς. εἰς .

sch av 606 .. ἀφίξονται] ἤγουν εἰς πολυχρονιότητα φθάσωσιν. ἀποθνῄσκειν] τὸν ἄνθρωπον.

sch av 610a* (int.) [σχετ]λιαστικὸν [ἐπίρ]ρημα. ὡς] λίαν.

sch av 610c* ἡμῖν] ἡμῶν. πολλῷ] κρείττονες τοῦ Διός.

sch av 615* θάμνοις] κλάδοις. ἔσται κτλ.

sch av 618 ] ὅτι εὕρημα θεῶν· Ἀθηνᾶς γάρ. λιβυκὸς θεὸς ὁ Ἄμμων.

sch av 627 μεταπίπτων p.i.m.] μεταβαλλόμενος εἰς φιλίαν. ἀφείμην] χωρισθείην.

sch av 633* ἴοις] ἔλθοις. ξυνῳδά] ὅμοια.

sch av 635 τρίψειν] ὡς ἐπὶ ἐσθῆτος. τεταξόμεθ’] ἀντιπαρα 〈τεταξόμεθα〉 .

sch av 639 Νικίας, υἱὸς Ἀλκιβιάδου· βραδὺς δὲ ἦν εἰς τὰς διεξόδους· διὸ καὶ διαβάλλεται. (νεοττιάν ⁒ ) παρακελεύεται αὐτοὺς εἰς τὴν καλιὰν αὐτοῦ.

sch av 642 παρόντα φρύγανα] ἐκ παραλλήλου. ἡμῖν] 〈ἡμ〉 ῶν.

sch av 643b* φράσετον] 〈φράσε〉 τε. Θρίηθεν] δῆμος τῆς Οἰνηΐδος.

sch av 648a* τὸ δεῖνα] λόγιον. (ἐπανάκρουσαι ⁒ ) ἐπαναλαβόντα τὸν λόγον ἐπανάκαμψαι εἰς τοὐπίσω· ἡ μεταφορὰ ἀπὸ τῶν τὰς ἡνίας ἀνακρουομένων.

sch av 648b ἐπανάκρουσις δέ ἐστι κυρίως τὸ ἐπισχεῖν τὴν ἐπερχομένην ναῦν μεθ’ ὁρμῆς εἰς τὸν ὅρμον, ἵνα μὴ προσελθοῦσα θραυσθῇ. τὴν ἀλώπεχ’] ἡ 〈ἀλώπ〉 ηξ.

sch av 653* φλαύρως] φιλικῶς, ῥᾳδίως. (int.

sch av 656* ) ἄνθρωποι. παίσωμεν .

sch av 660 .. ἐκείνης] συγχορεύσωμεν αὐτῇ. ὦ] ἔποψ.

sch av 661b* τοῦτο] εἰς. αὐτοῦ] τοπικόν.

sch av 667 ὡς καλὸν κτλ.] ἑταιρίδιον πρόσεισι κεκαλλωπισμένον. ἀπολέψαντα] 〈ἀπολε〉 πίσαντα.

sch av 677 φιλτάτη] εὐμορφωτάτη. ἦλθες ὤφθης p.

sch av 680

Eulogikon public reading copy · View original HTML at eulogikon.org

i.m.] ταῦτα πρὸς ἑαυτὸν λέγει ὁ Ἀριστοφάνης, ὅτι τῷ ἔαρι ἐν ἄστει τελοῦσι τὰ Διονύσια. ἠχοῦσα, λαλοῦσα· κυρίως δὲ τὸ τὴν κιθάραν κρούειν.

sch av 685 ἄγε δὴ] παράβασις. ταλαοὶ] καρτερικοί.

sch av 692* τὸ λοιπὸν] μετὰ ταῦτα. γῆ] οὐ.

sch av 696* περιτελλομέναις] περιερχομέναις. εἰκὼς p.

sch av 697 i.m.] ἐοικὼς τοῖς τοῦ ἀνέμου ὠκείαις συστροφαῖς. ἐνεόττευσε] ἐγέννησε.

sch av 703 ἔρωτος] λείπει υἱοί. (πολλοὺς ⁒ ) διότι δεξιὰ φαίνονται πρὸς ἔρωτας.

sch av 705b ἀποταξαμένους τοῖς ἐρασταῖς μετὰ νεότητα ἢ ποτὲ τῶν καιρῶν. περσικὸν ὄρνιν] ἀλεκτρυόνα.

sch av 712 (εἶτα ⁒ ) Ὀρέστης μανίαν ὑποκρινόμενος ἐν τῷ σκότει τοὺς ἀνθρώπους ἀπέδυεν. (ἴκτινος ⁒ ) ἐν τῇ Ἑλλάδι ἔαρος φαίνεται ἴκτινος, ὅτε κουρεύεται τὰ θρέμματα.

sch av 715 καὶ ληδάριόν τι] θέριστρον· ἢ εὐτελὲς ἱμάτιον. μαντευσάμενοι γὰρ πρῶτον ἐκ τῶν ὀρνέων, οὕτως ἐπὶ τὰ ἔργα χωρεῖτε.

sch av 720* ὄρνιθα] οἰωνόν, προφήτην. (ξύμβολον ⁒ ) τὰ πρῶτα ξυναντήματα ἐκάλουν σημεῖα.

sch av 721b ἐπεὶ πολλάκις εἰώθαμέν τινας τῶν θεραπόντων καλόποδας λέγειν καὶ καλλοιωνίστους. (corp.

sch av 721c ) λέγεται γάρ τι τοιοῦτον, ὡς συμβολικῶς ἐρωτώμενός τις περὶ ἀρρώστου εἶδεν ὄνον ἐκ πτώματος ἀναστάντα, ἀκήκοε δὲ ἑτέρου λέγοντος· “βλέπε πῶς ὄνος ὢν ἀνέστη”· ὁ δὲ ἔφη· “ὁ νοσῶν ἀναστήσεται”. ἕξετε] δυνηθείητε.

sch av 728 νεφεληγερέτης γάρ. mrg.

sch av 731 , tunc πλουθυγίειαν] ἐκ τούτου ἔμφασιν εὐδαιμονίας ἐμφαίνει. γέλωτα] χαράν.

sch av 734 (γάλα ⁒ ) παροιμία ἐπὶ τῶν λίαν εὐδαιμονούντων. Μοῦσα κτλ.

sch av 737 ] ᾠδὴ ἤτοι στροφή. ὡς ἀπὸ τοῦ ποιητοῦ. ξουθῆς] λεπτῆς.

sch av 745 (Πανὶ ⁒ ) ἐπεὶ νόμιος ὁ θεὸς καὶ ὄρειος, καὶ τῶν ὀρνέων δὲ ἐν ὄρεσιν αἱ διατριβαί. σεμνᾷ] τῇ Ῥέᾳ.

sch av 746b* χορεύματ’] λείπει “ἀναφαίνω”. ἀπὸ τῶν ἐμῶν ποιημάτων.

sch av 749 Φρύνιχος τραγῳδίας ποιητής. εἰ μετ’] ἐπίρρημα.

sch av 754* διαπλέκειν] διάγειν. (corp.

sch av 759 ) πλῆκτρον ὅπλον ἀμυντήριον· ἡ μεταφορὰ ἀπὸ τῶν ἀλεκτρυόνων· κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα, ἐν οἷς μάχονται. (ἀτταγᾶς ⁒ ) ὄρνις κατάστικτος ποικίλοις πτεροῖς.

sch av 763 διαβάλλονται ὡς Φρύγες καὶ δειλοί. φυσάτω] καὶ δειξάτω.

sch av 765b πάππος ὄρνεόν τι· πρὸς τὸ ὄνομα οὖν παίζει, ὅτι· εἰ ἀναβάς τις πρὸς ἡμᾶς γεννήσει πάππους, ἕξει ἀποδεικνύναι φράτορας, ὅ ἐστι συγγενεῖς. ὁ Πισίου] υἱός.

sch av 768* ἐκπερδικίσαι] πονηρεύσασθαι. τοιάνδε] ἀντῳδή.

sch av 774 Ἕβρον κτλ.] Θρᾴκης ποταμός· ἐν ποταμίοις γὰρ τὰ ὄρνεα. ἄνακτας p.

sch av 781 i.m.] τοὺς θεούς, ἔνθεν καὶ ἀνάκτορα τὰ ἱερά. ἐπωλόλυξαν] εὐφήμησαν.

sch av 785 οὐδέν ἐστ’] ἀντεπίρρημα. τῶν .

sch av 787 .. ἤχθετο] ὡς μακρῶν ὄντων τούτων. ἐφ’ ἡμᾶς] εἰς τὸ θέατρον.

sch av 790 χεζητιῶν p.i.m.] Χεσᾶς γὰρ ἐλέγετο. ἐξίδισεν] ἐξετίλησεν, ἀπεπάτησεν.

sch av 794 τόπος ἀνειμένος τοῖς βουλευταῖς· καὶ ὁ τοῖς ἐφήβοις ἐφηβικός. βινήσας] ἤγουν μιγείς, συνουσιάσας.

sch av 798

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πυτιναῖα p.i.m.] τῆς πυτίνης ἔχων κρεμάμενα ἱμαντάρια τῷ τραχήλῳ· ἡ δὲ πυτίνη πλέγμα ἐστίν. ᾑρέθη] προεκρίθη.

sch av 803 (ὠκυπτέροις ⁒ ) τῶν πτερῶν τὰ μὲν καλεῖται πτίλα, τὰ δὲ πτερά, τὰ δὲ ὠκύπτερα. χηνὶ συγγεγραμμένῳ] εὐτελῶς γεγραμμένῳ χηνί.

sch av 808* τάδ’ ... ἄλλων] ἤγουν ὁ χὴν καὶ ὁ κόψιχος. παράδοξον, ὃ οὐκ ὠνόμασταί ποτε.

sch av 810b τοῖς ὄρνισιν. χαμεύνῃ] τῇ εὐτελεῖ.

sch av 816b* κειρίαν ἔχων] εἴπω τοῦτο τὸ ὄνομα. Θεαγένους κτλ.

sch av 822 ] ἐκ πενίας πλούσιος ἐγεγόνει. ἅπαντα] εἰσί.

sch av 823b καὶ ... οὖν] πιστεύειν αὐτὰ ἢ εἰς τό. Φλέγρας πεδίον] ἔστι πεδίον τῆς Θρᾴκης.

sch av 825 καθυπερηκόντισαν] δέον εἰπεῖν κατεπολέμησαν. λιπαρὸν] λαμπρόν.

sch av 827a* πολιοῦχος] φύλαξ. τῷ ξανοῦμεν] ὡς οἱ Ἀθηναῖοι.

sch av 828* πολιάδα] φυλάκτριαν. Κλεισθένης] οὗτος ὡς γυναικώδης κωμῳδεῖται.

sch av 832a* καθέξει] φυλάξει. εἰς τὰς Ἀθήνας τεῖχος πελαργικὸν ἐν τῇ ἀκροπόλει.

sch av 835 ὦ ... δέσποτα] παίζει πρός τινα παῖδα νεοττὸν καλούμενον. (οἰκεῖν ⁒ ) καὶ τοῦτο παίζει, ἐπεὶ τραχὺ τὸ Πελαργικὸν καὶ πετρῶδες.

sch av 839a* ἀποδὺς] ἐκδυθείς. (int.

sch av 839b ) κυρίως δὲ ὀργάσαι τὸ πισσῶσαι. ὄργασον] μάλαξον.

sch av 842 οἱ τοὺς φύλακας γὰρ περισκοποῦντες κώδωνας ἐφόρουν. (ἕτερον ⁒ ) ἐπεὶ μεταξὺ γῆς καὶ οὐρανοῦ ἐστιν ὁ ἀήρ.

sch av 846a* οἴμωζε] ἀντὶ τοῦ κοπία. οἶ] καὶ ὅπου.

sch av 849 ἱερέα ... πομπὴν] πομπεύσοντα τὴν ἐς θυσίαν. αἴρεσθε] ἐπαίρετε.

sch av 851* ὁμορροθῶ] συγκατανεύσω. συμπαραινέσας ἔχω] συναινῶ συγκατατεθείς.

sch av 853 (προσόδια ⁒ ) οὕτω γὰρ ἔλεγον τὰς προσαγομένας τοῖς θεοῖς πομπάς. προσέτι] σύν.

sch av 857 πυθιὰς βοὰ p.i.m.] ἤγουν αὐλητής· ηὔλουν γὰρ ἐν ταῖς θυσίαις. συνᾳδέτω p.

sch av 858 i.m.] ὡς αὐτομάτως ἐπιόντος αὐτοῦ ταῖς εὐωχίαις παίζει αὐτόν. (861 ⁒ ) ἔοικεν ὁ αὐλητὴς διεσκευάσθαι εἰς κόρακα.

sch av 861 φορβίον δέ ἐστι τὸ περικείμενον τῷ στόματι τοῦ αὐλητοῦ δέρμα, ἵνα μὴ σχισθῇ τὸ χεῖλος αὐτοῦ. (Σουνιέρακε ⁒ ) ἐπεὶ περὶ ὀρνίθων ὁ λόγος, ἀντὶ τοῦ “Σουνιάρατε”· φαίνεται δὲ εἶναι Ποσειδῶνος τὸ ἐπίθετον, παρὰ τὸ ἐν τῷ Σουνίῳ ἄκρῳ τῆς Ἀττικῆς τὰς εὐχὰς δέχεσθαι.

sch av 868b “Πελαργικέ” ἀντὶ τοῦ “Πελασγικέ”. Κολαινίς] ἡ.

sch av 872b Ἀκολανθὶς] ἐπώνυμον τῆς Ἀρτέμιδος. (Ἀκολανθὶς ⁒ ) κολανθὶς : εἶδος ὀρνέου· λέγεται δὲ καὶ ἡ κύων, παρὰ τὸ αἰκάλλειν ἴσως τοὺς γνωρίμους, ὑλακτεῖν δὲ τοὺς ξένους.

sch av 873 (καὶ φρυγίλῳ ⁒ ) καὶ φρυγίλῳ : παίζει πρὸς τὸ ὄνομα, ἐπεὶ οἱ Φρύγες τὸν Σαβάζιον τιμῶσιν· ἔστι δὲ ὁ Διόνυσος· τὸ γὰρ εὐάζειν σαβάζειν λέγουσιν οἱ βάρβαροι. (καὶ ⁒ ) στρουθοκαμήλῳ· ἔπαιζε διὰ τὸ μέγεθος τῇ Ῥέᾳ ταύτην εἰκάσας.

sch av 876 (Κυβέλη ⁒ ) Κυβέλην φασὶ τὴν Ῥέαν διὰ τὰ Κύβελα ὄρη· ὀρεία δὲ ἡ θεός. τὸ δὲ “μήτηρ Κλεοκρίτου” διαβάλλει αὐτὸν ὡς στρουθόποδα. (αὐτοῖσι ⁒ ) διασύρει τοὺς Ἀθηναίους· οἱ γὰρ Ἀθηναῖοι ηὔχοντο ἑαυτοῖς τε καὶ τοῖς Χίοις, ὅταν ἐποίουν εὐχὰς τοῖς θεοῖς, διδόναι ἀγαθὰ καὶ ἐκείνοις καὶ αὐτοῖς.

sch av 882 πελεκᾶντι p.i.m.] πελεκάν, πελεκᾶνος κοινῶς, πελεκᾶς, πελεκᾶντος ἀττικόν, πελεκᾶς, πελεκᾶ δωρικόν. οἴχοιθ’] πορευθείη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch av 894* τουτονὶ] τὸ ἱερεῖον. δεῖ με] χρεία ὑπάρχει.

sch av 897* χέρνιβι] τινί. ἕνα τινὰ] ἀλλά.

sch av 902 καὶ κέρατα p.i.m.] ἐπὶ τῶν ἱερείων τῶν μὴ ἐχόντων σάρκας· ἀπὸ παροιμίας, ὡς εἰ ἔλεγε "τρίχας καὶ κέρατα". ἱεὶς] πέμπων.

sch av 909* ὀτρηρός] ταχύς. κόμην ἔχεις] τῶν γὰρ ἐλευθέρων ἦν τὸ κομᾶν.

sch av 915a ὀτρηρὸν] τετρυπημένον. ληδάριον] ἱμάτιον.

sch av 918 τὰ τὴν αὐτὴν ὑπόθεσιν ἔχοντα· ἢ ἀντὶ τοῦ "παιᾶνας". κατάτεχνα, ποικίλα, οἷον ὕμνους.

sch av 923a ᾿θέμην] ἔθηκα. (θέμην ⁒ ) ἐν τῇ δεκάτῃ γὰρ ἔθυον καὶ ἐτίθουν καὶ τὰ ὀνόματα τοῖς παισίν.

sch av 924* φάτις] φήμη. οἵαπερ] ὁποία.

sch av 925b* ἵππων] τινῶν. ἁμαρυγά] ἡ.

sch av 925c* ἁμαρυγά] κίνησις. κεφαλῇ θέλεις] τῇ κεφαλῇ ἐπινεύουσιν οἱ βασιλεῖς.

sch av 930a δόμεν] καὶ δός. (int.

sch av 930b ) διασύρει τὸν Πίνδαρον. ἀποφευξούμεθα] φεύγω, φεύξω ἀττικόν· φευξοῦμαι δὲ δωρικόν.

sch av 933a σπολάδα] διφθέραν. ἔχεις] φορεῖς.

sch av 940a* ἡμῶν] ἀφ'. ἀπαλλαχθήσεται] ἐλευθερωθήσεται.

sch av 942* ἀλᾶται] πλανᾶται. πέπαται] κέκτηται.

sch av 943b* οὐ πέπαται] οὐ κέκτηται· ἐξ οὗ καὶ "πολυπάμμων". τρομερὰν κρυερὰν p.

sch av 951 i.m.] διὰ τὸ ἀστήρικτον· διότι ἐν τῷ ἀέρι τὸ πλάσμα τῆς οἰκοδομῆς. ἀλαλάν] μουσικῆς.

sch av 957* πεπύσθαι] μαθεῖν. σὺ] ὦ ἱερεῦ.

sch av 959* εὐφημί'] σιγή, εὐχή. ὡς] ὅτι.

sch av 962b ἄντικρυς λέγων] αἰνιγματωδῶς λέγων. ἀλλ' .

sch av 966* .. οἷον] λείπει "ἐμποδίζει νῦν". ταὐτῷ κτλ.

sch av 968 ] μιμεῖται τὸ ἀσυνάρτητον τῶν χρησμῶν. προσήκει] μετουσία ὑπάρχει.

sch av 971* Πανδώρᾳ] τῇ. δόμεν] παράσχομεν.

sch av 975* σπλάγχνων] κρεάτων. (αἰετὸς ⁒ ) οὐχ' ἁπλῶς τοῦτο, ἀλλ' ὅτι χρησμὸς ἦν τοῖς Ἀθηναίοις δεδομένος τοσοῦτον αὐξηθήσεσθαι, ὅσον αἰετὸς τῶν ἄλλων ὀρνέων ἐν ταῖς νεφέλαις προὔχει.

sch av 984 σπλαγχνεύειν] σπλάγχνων μεταλαβεῖν. (καὶ ⁒ ) μήτε, φησίν, ἐὰν αὐτὸς ᾖ ὁ Λάμπων, φείδου αὐτοῦ, ἐὰν λέγῃ, ὅτι καὶ ὡς ἀετὸς γενήσῃ.

sch av 988a Λάμπων] χρησμολόγος. ὁ .

sch av 988b .. Διοπείθης] καὶ οὗτος χρησμολόγος. ἑτέρωσε] ἀλλαχόθι.

sch av 992* ἥκω] ἦλθον. δράσων] μέλλων πρᾶξαι.

sch av 994* ὁ κόθορνος] ἡ ἐπίνοια. διελεῖν] μερίσαι.

sch av 997 ἄριστος γεωμέτρης ὁ Μέτων. κανόνες ἀέρος] δι' ὧν ἐξισοῦσιν.

sch av 1000* τὴν] κατά. κατὰ πνιγέα] κατὰ φοῦρνον.

sch av 1005a ὁ κύκλος ... τετράγωνος] παίζει· ἀδύνατον τὸν κύκλον γενέσθαι τετράγωνον. κἂν μέσῳ] καὶ ἐν τῷ μέσῳ κύκλῳ.

sch av 1009 (ἄνθρωπος ⁒ ) διαβεβοημένος γεωμέτρης, εἷς τῶν ἑπτὰ φιλοσόφων. Θαλῆς, Θαλοῦ, καὶ Θάλης, Θάλητος.

sch av 1010* Μέτων] ὦ. ὑπαποκίνει] ὑπαναχώρει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch av 1013* ξενηλατοῦνται] διώκονται οἱ ξένοι. συχναὶ] πυκναί.

sch av 1014b μῶν στασιάζετε] εἰς ἀλλήλους μάχεσθε. ὁμοθυμαδὸν] ὁμοῦ.

sch av 1016a σποδεῖν] τύπτειν. δοκεῖ] τοῖς πολίταις.

sch av 1018a* φθαίης ἂν] φθάσῃς. αὑταιί p.

sch av 1018b i.m.] αἱ πληγαί· ἅμα δὲ τύπτει αὐτόν. ποῦ πρόξενοι] προδεχόμενοι τοὺς ξένους.

sch av 1022* κυάμῳ λαχὼν] κλῆρον εὑρών. τί βούλει] κατὰ τί.

sch av 1028 (Φαρνάκῃ ⁒ ) στρατηγὸς Περσῶν ὁ Φαρνάκης· ἀλαζονικῶς οὖν σκήπτεται κοινωνίαν ἔχειν μετ' ἐκείνου. ἄπιθι λαβὼν] ταῦτά φησι.

sch av 1030 παίζει πρὸς τὸ ῥηθέν. ἀποσοβήσεις] πόρρω ὑπάγεις.

sch av 1033* οὐ δεινά] ἐστί. ἐὰν κτλ.

sch av 1035a ] ἦλθεν ὁ ψηφισματοπώλης. Ἀθηναῖον ἀδικ〈ῇ〉 ] τί μέλλει ἐκεῖ ἵνα γένηται.

sch av 1042* Ὀλοφύξιοι] ἔθνος. οἷσίπερ] ἐκείνοις τοῖς μέτροις.

sch av 1046* ὕβρεως] ἕνεκεν. γράφω] κατηγορῶ.

sch av 1052b* μυρίας] εἰς. διασκεδῶ] διασκορπίσω.

sch av 1058 ἤδη μοι] ᾠδὴ ἤτοι στροφή. οἳ] ἢ.

sch av 1065 κάλυκος αὐξανόμενον] καταχρηστικῶς πᾶν βλάστημα. οἳ] ἐκείνους.

sch av 1069* δάκεθ'] θηρία. (int.

sch av 1072a ) ἐπίρρημα. ἐπαναγορεύεται] κηρυκεύεται.

sch av 1073a* ὑμῶν] ἀφ'. τὸν Μήλιον] τὸν ἄθεον.

sch av 1074 τίς τινα κτλ.] συγγενῆ τούτων· ἀδελφόν, ἐξάδελφον. ἀνειπεῖν ταῦτα] δευτέραν σχέσιν δηλοῖ.

sch av 1077 (Φιλοκράτην ⁒ ) τρία γὰρ αὐτοὺς λυπεῖ· ὅτι θηρεύει, ὅτι πωλεῖ, ὅτι ἑπτὰ τοῦ ὀβολοῦ ὡς εὐτελίζων αὐτούς. (κοψίχοισιν ⁒ ) οἱ κόψιχοι γὰρ ᾠοτοκοῦντες κεντοῦσι τὰ ᾠά· οἱ οὖν ὀρνιθοθῆραι πτερὰ αὐτοῖς ἐμβάλλουσι πρὸς τὸ ἀμβλῦναι τὰ ῥάμφη τῇ μαλακότητι τῶν πτερῶν.

sch av 1081b ἐγχεῖ τὰ πτερὰ p.i.m.] ἐμβάλλει· ἐμφαντικὸν πλήθους τὸ "ἐγχεῖ". παλεύειν] κινεῖσθαι.

sch av 1099 (παρθένια ⁒ ) διὰ τὸ ἐπιμελῶς τὰς παρθένους τὰ μύρτα ἐσθίειν. Χαρίτων τε κηπεύματα] τὰ κεχαριτωμένα ἄνθη.

sch av 1104 mrg., tunc ὥστε ... δῶρα] τοῦ Πάριδος, ἃ ἔλαβε παρὰ Ἀφροδίτης. (γλαῦκες ⁒ ) ἀντὶ τοῦ "νομίσματα"· ἡ γὰρ γλαὺξ ὄρνεόν ἐστιν Ἀθηνᾶς, ὅπερ πάνυ τιμῶντες Ἀθηναῖοι διὰ τὴν θεὸν ἐν τοῖς τετραδράχμοις ἐνεχάραττον.

sch av 1107 ἔνδον ... βαλαντίοις] αἰνίττεται τὸ φιλάργυρον τῶν Ἀθηναίων. κἀκλέψουσι] γεννήσουσι.

sch av 1108b* κέρματα] νομίσματα. (ἱεροῖς ⁒ ) διὰ τὰ ἐν τοῖς ναοῖς ἀετώματα· τὰ εἰς τὰς στέγας γὰρ ξύλα πτερὰ καὶ ἀετοὺς καλοῦσιν.

sch av 1111* ἀρχίδιον] ἀρχήν. ὀξὺν κτλ.

sch av 1112 ] διὰ τὸ ἁρπακτικόν· ἤγουν ἁρπαγὴν ὀξεῖαν. (ἣν ⁒ ) κυρίως τῶν ὀρνίθων ὁ οἰσοφάγος, ἀπὸ τοῦ συναθροίζειν ἐκεῖ τὴν τροφήν.

sch av 1113b* πρηγορεῶνας] ἤγουν πλείστας τροφάς. μηνίσκους] περικεφαλαίας.

sch av 1115a* ἀνδριάντες] οἱ. ὡς] ὅτι.

sch av 1115c* ὑμῶν] ἀφ'. μήνην] περικεφαλαίαν.

sch av 1118 τὰ ... ἡμῖν] τὰ ἐν τοῖς θύμασι σύμβολα. ὡς] πῶς.

sch av 1120* ὅτου] ἀφ' οὗ. 1121 p.

sch av 1121 i.m.] οὐ δοκεῖ μοι καλόν. σύντομον· ὀξύ· τινὲς δὲ ἄλφιον· ἀπὸ τοῦ παραρρέοντος. οὑτοσί] ἐγώ.

sch av 1124* ἐξῳκοδόμηταί] λίαν ἐκτίσθη. ἐκ τούτου πιστοῦται τὸ ἀνυπόστατον τοῦ τείχους, ἐπειδὴ καπνοὶ ἦσαν καὶ κομπασταὶ καὶ μόνον ὑπόσχεσις.

sch av 1129* παρελασαίτην] διοδευσαίτην. ὦ p.

sch av 1131* i.m.] εἰκότως τὸν Ποσειδῶνα ὄμνυσι διὰ τὸ μῆκος τῆς θαλάσσης. (πλινθοφόρος ⁒ ) ἐκωμῳδοῦντο γὰρ οἱ Αἰγύπτιοι ὡς πλινθοφόροι.

sch av 1137 διὰ γὰρ τὸ ἐν ὕψει πέτεσθαι καὶ τῇ εἰς εὐθὺ ὁρμῇ τὴν ἐπὶ τὰ κάτω θέαν ἐμποδίζεσθαι λίθους βαστάζουσιν, ὅπως κάμνουσαι πτήσει ῥίπτοιεν καὶ αἴσθοιντο, πότερον ἐπὶ γῆς ἢ ἐπὶ θαλάσσης φέρονται· καὶ εἰ μὲν ἐπὶ θαλάττης, τέμνουσι τὴν ὁδόν· εἰ δὲ ἐπὶ γῆς, ἀναπαύονται. ἐτύκιζον] ἴσαζον.

sch av 1140* ἐφόρουν] ἔφερον. ἐρῳδιοὶ p.

sch av 1142 i.m.] ἔπαιζε διὰ τὸ παράγεσθαι ἀπὸ τῆς ἔρας. mrg.

sch av 1145a ,tunc οἱ χῆνες] διὰ τὸ πλατύποδας τῶν ἄλλων μᾶλλον εἶναι αὐτούς. ταῖς ἄμαις] τοῖς πτύοις.

sch av 1146 (ἐς τὰς λεκάνας ⁒ ) λεκάνη κοινόν, παρὰ τὸ “λα” ἐπιτατικὸν μόριον καὶ τὸ “χαίνω”· τὸ δὲ ἀττικὸν λεχάνη. ἄνω .

sch av 1149 .. ὑπαγωγέα] ὑπαγωγεὺς σιδηροῦν τι πτυΐδιον. κατόπιν] καὶ κάτωθεν.

sch av 1159 καὶ βεβαλάνωται] κεκλείδωται. ἐφοδεύεται] διοδεύεται.

sch av 1160b κωδωνοφορεῖται πανταχῇ] ἡ τῶν φυλάκων φρουρὰ δοκιμάζεται. (φρυκτωρίαι ⁒ ) παρὰ τὸ “φρυκτός” καὶ τὸ “ὠρεύειν”, ὃ δηλοῖ τὸ φυλάττειν.

sch av 1163 δρᾶ] πράττε. ἐσθεῖ] τρέχει.

sch av 1169 (int. πυρρίχην ⁒ ) ἔνοπλον, πολεμικόν τι· ἐνόπλιος γὰρ ὄρχησις ἡ πυρρίχη. ἐς τὸν ἀέρα] δέον εἰπεῖν ἐς τὴν πόλιν.

sch av 1174 ἡμεροσκόπους] τοὺς ἐν ἡμέρᾳ φρουροῦντας. περιπόλους] ζητητάς.

sch av 1178* κατ’] εἰς. αἴρεται] κινεῖται.

sch av 1195a* ταύτῃ] οὕτως. περῶν] διερχόμενος.

sch av 1199 αὕτη σύ] ὦ Ἶρι. ἐπίσχες] κωλύθητι.

sch av 1203a πλοῖον κτλ.] πλοῖον μέν, καθὸ ἐπτέρωται. (ὀρνίθαρχος v.

sch av 1203b 1215 ⁒ ) περικεφαλαία. διὰ τὸ ἐν τῷ δρόμῳ αὐτῆς κεκολπῶσθαι τὸν χιτῶνα.

sch av 1204 ἢ Σαλαμινία] πρὸς τὸ “ταχεῖα”. αὗται ἱεραὶ τριήρεις δημοσίαι ἐπὶ τὰς τῆς πόλεως χρείας πεμπόμεναι καὶ ταχυναυτοῦσαι.

sch av 1214 ὑγιαίνεις μέν p.i.m.] καὶ οὐ μαίνῃ τοιαῦτα ἐρωτῶν. τοῦ χάους p.

sch av 1218 i.m.] τοῦ ἀέρος, διὰ τὸ κεχύσθαι εἰς ἄπλωμα. τῇδε] ἐνταῦθα.

sch av 1221 ἆρά γ’ οἶσθα ... ὅτι] ὡς τοῦ ἀέρος ποικίλας ἴριδας ποιοῦντος. ἀξίας ἐτύγχανες] τιμωρίας.

sch av 1225* πεισόμεθ’] ποιήσομεν. ἀκολασταινεῖτε] ἀκόλαστα καὶ ἄτακτα πράξητε.

sch av 1228 τῶν κρειττόνων] ἤγουν ἡμῶν. ναυστολεῖς] πορεύεσαι.

sch av 1233* κνισσᾶν] καπνίζειν. κίνει] παρασάλευε.

sch av 1241* περιπτυχὰς] ἀσφαλίσεις. διότι κατηθαλώθησαν οἱ Λικύμνιοι.

sch av 1245 μορμολύττεσθαι] ἐκφοβεῖν. πέρα] τοῦ δέοντος.

sch av 1247 δόμους Ἀμφίον 〈οσ〉 ] ἤγουν τὰς Ἀθήνας. πυρφόροισιν αἰετοῖς] κεραυνοφόρον γὰρ τὸ ζῷον.

sch av 1250a παρδαλὰς] ἔπαιξε πρὸς τὴν πτέρωσιν αὐτῶν. ἐνημμένους] ἐνδεδυμένους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch av 1256 στύομαι τριέμβολον] πολλάκις συνουσιασθεῖσαν. ἐπιρρήματά τινα ἀνέπλασεν εἰς τὸ κακέμφατον.

sch av 1258 παρὰ τὸ “εὐρέως” σοι μιγήσομαι καὶ τὸ “πατάξαι”, ὅθεν καὶ χαμαιτύπαι αἱ πόρναι. ούμὸς πατήρ] οὐ ζῶ ἐγώ.

sch av 1262 ἀποκεκλῄκαμεν] ἀπηγορεύσαμεν. μηδέ α′ τιν’ ἱερόθυτον ε′ ἀνὰ δ′ δάπεδον ἔτι γ′ τῇδε θ′ βροτῶν β′ θεοῖσι η′ πέμπειν ϛ′ καπνόν.

sch av 1266/68* ζ′ ἀνὰ δάπεδον] διέρχεσθαι.

sch av 1268* πέμπειν] ὥστε. δεινόν] νομίζω.

sch av 1269b τὸν ὁ κήρυκα ηξ τὸν ὁ παρὰ τοὺς βροτοὺς οἰχόμενον ος εἰ. οἰχόμενον] ἀπελθόντα.

sch av 1270b* νοστήσει] ἐπανα 〈νοστήσει〉 . κατακέλευσον] εἰς τὸ γενέσθαι σιγήν.

sch av 1276* τί] εἰς. ἐλακωνομάνουν] ἠλαζονεύοντο ὥσπερ οἱ Λάκωνες.

sch av 1282* ἐκόμων] ἐπαίροντο. σκυτάλι’ ἐφόρουν] ἀντὶ τοῦ “ἐλακώνιζον”.

sch av 1283a λακωνικὸν τὸ τῆς σκυτάλης. ὑποστρέψαντες] ῥάβδους.

sch av 1284* ὀρνιθομανοῦσιν] τῆς τῶν ὀρνίθων ἐρῶσι πολιτείας. κατῆραν] ἦλθον.

sch av 1289* ἀπενέμοντ’] ἐμέριζον. περιφανῶς] μεγάλως.

sch av 1294* ὀφθαλμὸν οὐκ ἔχων] μονόφθαλμος καὶ ἅρπαξ. ἶβις κτλ.

sch av 1296 ] ὄρνεον πλεονάζον ἐν Αἰγύπτῳ, μακροσκελές. εἶκεν] ἔοικεν.

sch av 1299* ὑπὸ στυφοκόμπου] ὑπὸ τῆς ἀλαζονείας. πτεροῦ .

sch av 1303 .. προσῆν] ᾖδον αὐτὸ ἐν ποιήματι. πλεῖν] πλέον.

sch av 1308* ἑστάναι] ἵστασθαι. ἰὼν] ἐλθών.

sch av 1309b τὰς ἀρρίχους] ἡ ἀρρίχη. Μανῆς] δοῦλος.

sch av 1313* πολυάνορα] 〈πολυ〉 ἄνθρωπον. ἐμᾶς πόλεως] τοὺς ἀνθρώπους.

sch av 1317 φέρειν κελεύω] πτερά· δῆλον πρὸς τὸν δοῦλον. μετοικεῖν] ὥστε κατοικεῖν μετέρχεσθαι.

sch av 1323 βλακικῶς] ῥᾳθύμως. διάθες] τάξον.

sch av 1335 σου σχήσομαι] ἀνέξομαι, ὑπομείνω. γενοίμαν] εἴθε.

sch av 1338* ποταθείην] πετασθείην. γλαυκᾶς] καταπληκτικῆς.

sch av 1342* αἰβοῖ] θαυμαστικόν. ἐρῶ] ἐπιθυμῶ.

sch av 1345* τῶν νόμων] διατριβῶν. νομίζεται] 〈νομίζετ〉 ον.

sch av 1347b* νομίζεται] νενομισμένον ἐστὶ τοῖς. πεπλήγῃ] πλήττῃ.

sch av 1354 κύρβεσιν], tunc mrg. (σανίδες ⁒ ) κύρβιες χαλκαῖ σανίδες, ἐν αἷς ἔγραφον τοὺς νόμους. ἀπὸ τοῦ κεκορυφῶσθαι εἰς ὕψος· ἢ ἀπὸ τῶν Κορυβάντων· ἐκείνων γὰρ εὕρεμα. οὐδέν γ’] πείσῃ κακόν.

sch av 1361 ὀρφανὸν] μὴ ἔχοντα πατέρα. (ἐπειδὴ ⁒ ) συμβουλεύει τοῖς νέοις στρατεύεσθαι καὶ μὴ μάτην ἐκ τοῦ δημοσίου τρέφεσθαι.

sch av 1369 ἐπεὶ συνεχεῖς ἐγίνοντο στρατιαὶ ἐπὶ Θρᾴκης τοῖς Ἀθηναίοις. mrg.

sch av 1375 , tunc τουτὶ τὸ πρᾶγμα] διότι εἶπε “πέτομαι” καὶ “πτερύγεσσι”. ἀφόβῳ φρενὶ] τοῦ Κινησίου.

sch av 1376/77 ἀφόβῳ ... νέαν] ἀσυνάρτητον τὸ κῶλον πρὸς διαβολήν. (int.

sch av 1378a ) ἡ γὰρ φιλύρα χλωρόν· χλωρὸν δὲ καὶ οὗτος. φιλύρινον] χλωρόν.

sch av 1385a* νιφοβόλους] ὑψηλάς. ἀναβολάς] λέξεις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch av 1387 (τέχνη ⁒ ) οἷον ὕλη ἐστὶ τῶν ποιημάτων ἡμῶν ἡ τῶν νεφελῶν σύστασις. ἅπαντα p.

sch av 1392 i.m.] ἅπαντα γὰρ τὰ περὶ τοῦ ἀέρος διεξέρχομαι· ὁ νοῦς ἐλάχιστος, ὡς ἡ παροιμία· “καὶ τῶν διθυράμβων νοῦν ἔχεις ἐλάττονα.” (ἄλα ⁒ ) παρακελεύεται αὐτῷ παύσασθαι τοῦ ᾄδειν, ὡς οἱ ἐρέσσοντες.

sch av 1398 τοτὲ ... στείχων] τοῦτο λέγων ἅμα παίει αὐτόν. πτεροδόνητος] πτεροῖς πληχθείς.

sch av 1403 κυκλιοδιδάσκαλον] ἤγουν τὸν διθυραμβοποιόν. φυλαῖς κτλ.

sch av 1404 ] ἑκάστη γὰρ φυλὴ ἔτρεφε διθυραμβοποιόν. Λεωτροφίδῃ] διθυραμβοποιὸς κοῦφος.

sch av 1407* Κεκροπίδα] τοῦ. συκοφάντης ἔρχεται πενόμενος καὶ εἰς τὴν ἑαυτοῦ πενίαν ᾄδων· ἐκ δὲ πρώτων λόγων συκοφαντεῖ τοὺς ὄρνιθας ὡς ἐναντίον ἐχόντων τὸ σχῆμα τῆς φύσεως· εἴη δ’ ἂν εἰς τὸ σχῆμα τοῦ πρεσβύτου ἀφορῶν.

sch av 1411* ἔχοντες] πτερά. ἐξεγρήγορεν] ἐκινήθη.

sch av 1416* τὸ σκόλιον] εἶδος ᾠδῆς παροίνου. δ’ ἔοικεν κτλ.

sch av 1417* ] ἐπεὶ αἱ χελιδόνες τὸ ἔαρ φέρουσιν. μῶν .

sch av 1421 .. Πελλήνης] διότι χλαῖναι γίνονται ἐκεῖ διαφέρουσαι. καλούμενος] καλῶν αὐτούς.

sch av 1426a ὑπαὶ] μετά. πτερύγων .

sch av 1426b .. προσκαλῇ] σοφώτερόν φησι τὸ μετὰ πτερύγων καλεῖν. ἵν’] ὅπως.

sch av 1429a (ἀνθ’ ⁒ ) ἀντὶ τοῦ λίθου· ἐπεὶ αἱ γέρανοι ἐν τῷ στόματι ψήφους ἔχουσιν· ἢ πολλάκις στηρίγματος ἕνεκα περιφέρουσι λίθους πρὸς τὸ μὴ περιφέρεσθαι ἀνέμοις. ἕρματος] στηρίγματος.

sch av 1431* νεανίας] ἤγουν νεωστί. δεινῶς] ἐπιτηδείως.

sch av 1442b ὁ Διιτρέφης p.i.m.] πυτινοπλόκος ὢν ὁ Διιτρέφης γέγονε φύλαρχος. ὁ δέ τις] ἄλλος τις.

sch av 1444b* τὸν αὑτοῦ] ὑποκριτήν. τρέψαι] κλῖναι.

sch av 1453* ἀλλὰ πτέρου] ἐν δυνάμει. ἱέρακος .

sch av 1454 .. κερχνῇδος] ἐπεὶ ἁρπακτικὰ τὰ ζῷα. ἐγκεκληκὼς p.

sch av 1455* i.m.] ἔγκλημα κατ’ αὐτῶν γραψάμενος βραδυτῆτος. πλεῖ] πλεύσει.

sch av 1460* ἔχεις] ἔγνωκας. βέμβικος p.

sch av 1461a i.m.] στρόμβις, ἣν οἱ παῖδες μαστί[ζοντες] ποιοῦσ[ι] [π]εριστρέφεσ[θαι]. οὐδὲν] κατ’.

sch av 1463a (κάλλιστα ⁒ ) λέγεταί τις κερκυραία μάστιξ παρὰ τὸ στασιάζειν συνεχῶς· καὶ ἐπεπόλασε παρ’ αὐτοῖς ἡ μάστιξ, ὥστε διπλαῖς χρῆσθαι μεγάλαις καὶ ἐλεφαντοκώπαις. κάλλιστα .

sch av 1463b .. τοιαυτὶ] εἰπὼν τοῦτο τύπτει αὐτόν. ἔκτοπόν] ἔξω τόπου.

sch av 1474b Καρδίας] τῆς πόλεως. δὲ δειλὸν] μέγας καὶ δειλός.

sch av 1479 συκοφαντεῖ p.i.m.] τότε γὰρ ἐγένοντο αἱ δίκαι. ἐρημίᾳ] ἤγουν ἐν τῇ σκοτίᾳ.

sch av 1488* ἦν] ἔστιν. ξυντυγχάνειν] συνομιλεῖν.

sch av 1493 τἀπιδέξια] τὰ δεξιὰ τῆς φύσεως· ὀφ〈θαλμούσ〉. ὅπως μή] φοβοῦμαι.

sch av 1498 πηνίκ’] ἤγουν ποία ὥρα. ἀπαιθριάζει] σκορπίζει.

sch av 1513* ἀκούοντος] ἐμοῦ. νηστείας εἶχον οἱ θεοί, ὁπηνίκα ἀπεκτάνθη ὁ Ἁλιρρόθιος, υἱὸς Ποσειδῶνος, παρὰ τοῦ Ἄρεος.

sch av 1523* τἀμπόρι’] σιτοδοχεῖα. ὅθεν] ἀφ’ οὗ.

sch av 1527b Ἐξηκεστίδης] δέον εἰπεῖν Ἀπόλλων. πρέσβεις] ἀποκρισιάρ〈ιοι〉.

sch av 1534* σπένδησθ’] φιλιοῦσθε. γυναῖκ’] ὡς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch av 1538* ταμιεύει] φυλάσσει. τὰ νεώρια] τοὺς λιμένας.

sch av 1541 τὸν κωλακρέτην] τὸν ταμίαν τῶν πολιτικῶν χρημάτων. φράσαιμί] συμβουλεύσαιμι.

sch av 1546* θεῶν] ἀπό. ἀπανθρακίζομεν] τὸ πῦρ ἔχομεν. οἶσθα] γινώσκεις. [1]

sch av 1552* διφροφόρει κτλ.] φέρου ἐπάνω εἰς τὸν δίφρον. τοῖς σκιάποσιν] ἀφανέσι τόποις.

sch av 1554* ἄλουτος] καὶ μὴ λουόμενος. κάμηλον] ἀντὶ καμήλου ἀμνόν.

sch av 1562* αὐτῷ] σύν. τὸ λαῖμα] ἢ τὸν λαιμὸν ἢ τὸ αἷμα.

sch av 1564a (νυκτερὶς ⁒ ) διαβάλλει αὐτόν, ὡς αὐτοκλήτως παραβάλλοντα εἰς τὰ δεῖπνα. ἐπεὶ οὔτε ἡ νυκτερὶς ἡμέρας οὔτε οἱ φιλόσοφοι· δεδυκότες γὰρ φιλοσοφοῦσιν.

sch av 1566a* δρᾶν] ὥστε. ᾗ πρεσβεύομεν] ὅπου πρέσβεις ἐρχόμεθα.

sch av 1567 οὗτος] ὦ Τριβαλλέ. (Λεσποδίας (sic) ⁒ ) ὅτι σαπρὰν εἶχε τὴν κνήμην ὁ Λεσποδίας καὶ μέχρι τῶν κάτω περιεβάλλετο.

sch av 1570* (ποῖ προβιβᾷς ⁒ ) διασύρει τοὺς Ἀθηναίους, ὅτι βαρβάρους μετὰ ἀξιοπίστων εἰς δουλείας ἔπεμπον. τουτονί γ’] τὸν βάρβαρον.

sch av 1572* ἕξεις] ἔχε. πάντων] ἀπό.

sch av 1577 ἡρήμεσθα] ἐχειροτονήθημεν, προαιρήθημεν. σίλφιον p.

sch av 1579* i.m.] εἰς τὴν Κυρήνην γίνεται. πυρπόλει] ἅναπτε.

sch av 1582 ἐπικνῶ κτλ.] ἐπίβαλλε εἰς τὰς χύτρας. τοῦ] τίνος.

sch av 1586* ἐπικνᾷς] ἐπικόπτεις. (τέλμασιν ⁒ ) φρέασιν· κυρίως δὲ τὸ σπηλῶδες καὶ μὴ ἔχον ὕδωρ.

sch av 1595* αὐτοκράτορες] ἀποκρισιάριοι. ἀποδοῦναι] πρέπει.

sch av 1602* πρέσβεις] ἀποκρισιαρίους. ἀπόχρη] ἱκανά εἰσιν.

sch av 1603b ψηφίζομαι p.i.m.] διὰ τὸ ἄριστον λέγει ταῦτα. ἠλίθιος] ἀνόητος.

sch av 1604b* γάστρις] λαίμαργος. κόρακα .

sch av 1611 .. Δία] ὑφ’ ἑνὸς τοὺς πάντας δηλοῖ. θέν〈ων〉] τύπ〈των〉.

sch av 1614 γέ τοι … λέγεις] γελοίως καθ’ ἑαυτοῦ ὄμνυσιν. μαβαισατρεῦ] συγκατατίθεμαι.

sch av 1616* ἐπαινεῖ] συγκατατίθεται. εὐξάμενος] ὑποσχεθείς.

sch av 1619b* διασοφίζηται] ἀπατᾷ. μενετοὶ θεοὶ] ἀνεξίκακοι· ἐπίμονοι καὶ βέβαιοι.

sch av 1620b* μισητίαν] διά. μισητίαν] ἀπληστίαν.

sch av 1622* διαριθμῶν] ψηφισμάτων. ἐρο〈ῦ〉] ἔρῃ.

sch av 1628a ὁ Τριβαλλός] ὦ. οἰμώζειν] καλῶς λέγειν.

sch av 1631* δοκεῖ] ἀρέσκει. διαλλαγῶν] σπονδῶν.

sch av 1636* ἀπίωμεν] ἄς. μιᾶς] τῆς Βασιλείας.

sch av 1640* διαλλαττόμ〈εθα〉] εἰρηνεύομεν. ὦιζύρ’] ταλαίπωρε.

sch av 1641b* ἐξαπατώμενος] ὅτι. οἷον] πῶς.

sch av 1648a διαβάλλεταί] ἐξαπατᾷ. πόνηρε] ἄθλιε.

sch av 1649* ἀκαρῆ] ἐν βραχεῖ. ξένης] ἀπό.

sch av 1653* ἐπίκληρον] κληρονόμον. ἀδελφῶν 〈γνησίων〉] δέον εἰπεῖν 〈“νόθων”〉.

sch av 1656a νόθῳ ’ξ ἀποθνήσκων] ἐπεὶ οὐκ ἐξῆν τοῖς νόθοις κληρονομεῖν. διδόναι.

sch av 1657* ἐπαίρει] ὑψοῖ. ἀνθέξεταί] ἀντιποιηθῇ.

sch av 1661 ἀγχιστείαν] μετουσίαν τῆς οὐσίας. μετεῖναι] μετουσίαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch av 1669 διὰ γὰρ τοῦ ἐγγραφῆναι εἰς τὰς φρατρίας σύμβολον εἶχον τῆς εὐγενείας. αἰκίαν] μάστιγα· ἤγουν εἰς τὸ τύψαι τινά.

sch av 1677* πᾶν τὸ πρᾶγμα] πᾶσα ὑπόθεσις κρέμαται. καλάνι κοραυνᾶ] καλὴν κόρην.

sch av 1678b μεγάλα βασιλιναῦ] μεγάλην βασίλισσαν. βαδίζειν] ἀναχωρεῖν.

sch av 1681b mrg., tunc ὥσπερ κτλ.] ἤγουν δυσφράστως λέγει· καὶ Αἰσχύλος τὸ βαρβαρίζειν χελιδονίζειν φησίν. οὐκοῦν] τὸ λοιπόν.

sch av 1682b χελιδόσι λέγει] ταῖς εἰς τὴν Νεφελοκοκκυγίαν. διαλλάττεσθε] εἰρηνεύετε.

sch av 1683b* ξυμβαίνετε] συμβιβάζεσθε. σφῷν] ὑμῖν.

sch av 1688a* κατεκόπησαν] ἐσφάγησαν. οὑτοιί] οἱ ὄρνιθες.

sch av 1690* ἴτε] ἐπέλθετε. τενθείαν] λαιμαργίαν.

sch av 1692* οὐκ εἶ μεθ’] πορευθῇς. (corp.

sch av 1693 γαμικὴν ⁒ ) καὶ συκοφαντεῖν αὐτοὺς περὶ τὰ δικαστήρια (τὰ ἑξῆς ταῦτά ἐστι· τὰ ἀνωτέρω) ἐν ταῖς ἐκκλησίαις νῦν φησίν· παίζει δὲ διασύρων τῶν Ἀθηναίων τοὺς συκοφάντας, παρὰ τὸ “φαίνειν”. συκάζουσί τε] συκάζειν τὸ σύκα ἐκλέγειν καὶ συκοφαντεῖν.

sch av 1704 (corp. πανταχοῦ ⁒ ) βούλεται λέγειν, ὅτι ἐξεβλήθη ἐκ τῶν σπλάγχνων διὰ τοὺς ῥήτορας ἡ γλῶττα, ἐπεὶ ταύτῃ τοὺς ἄλλους κακοποιοῦσι· πρῴην γὰρ μετὰ τῶν σπλάγχνων ἔτεμον τὴν γλῶτταν. χωρὶς τέμνεται] καὶ κεχωρισμένως.

sch av 1706a (corp. ὦ πάντ’ ⁒ ) εἴη ἂν οὗτος ὁ ἄγγελος, θεράπων συναναβεβηκὼς Πεισθεταίρῳ. ὦ p.

sch av 1706b i.m.] ἃ μηδὲ λόγος ἰσχύει φράσαι. οἷος] λαμπρός.

sch av 1710a* ἰδεῖν] εἰς τό. χρυσαυγεῖ] αὐτόν.

sch av 1713 (ἔχων ⁒ ) εἰώθασι τῷ κεραυνῷ ἐξ ἑκατέρου μέρους πτερὰ προσφύειν. ἀνωνόμαστος] πολλή.

sch av 1715b ἐς βάθος κύκλου] εἰς τὸ ὕψος τοῦ οὐρανοῦ. αὖραι] πνέουσαι.

sch av 1717b διαψαίρειν τὸ ἡσυχῇ κινεῖσθαι καὶ ψοφεῖν. διαψαίρουσι] κινοῦσι.

sch av 1720a ἄναγε] ὕμνει. ἀπὸ τοῦ Εὐριπίδου· ἄνεχε, πάρεχε, φῶς φέρε.

sch av 1731 καλῶς τὸ ἐπιθαλάμιον γέγραπται. ἠλιβάτων] ὑψηλῶν.

sch av 1734 συνήγαγον, συνεμ 〈 〉 . ἐν τοιῷδ’ ὑμεναίῳ] ὕμνῳ βασιλικῷ.

sch av 1736 ᾖδετο τοῦτ’ ἐν τοῖς γάμοις. (corp.

sch av 1737 Ἔρως ⁒ ) Ἔρως, φησί, παράνυμφος ἦν τοῦ Διὸς καὶ τῆς Ἥρας· πάροχοι γὰρ ἐλέγοντο οἱ παράνυμφοι, παρὰ τὸ παροχεῖσθαι τοῖς νυμφιδίοις· ἐπ’ ὀχήματος γὰρ τὰς νύμφας ἦγον. εὔθυνε] διακυβέρνα.

sch av 1738b* (παλιντόνους ⁒ ) τὰς πάλιν καὶ εἰς τοὐπίσω τεινομένας. λόγων] χάριν.

sch av 1744b* αὐτοῦ] τοπικόν. κλῄσατε] ὑμνήσατε.

sch av 1747a* δεινόν] καταπληκτικόν. ἀργῆτα] τὸν διάπυρον καὶ λευκόν.

sch av 1749* ἄμβροτον] ἄφθαρτον. ὅδε p.

sch av 1751 i.m.] ἢ ὁ Ζεὺς ἢ ὁ Πεισθέταιρος λαβὼν τὴν Βασιλείαν. διὰ σὲ] τὸν κεραυνόν.

sch av 1753* πάρεδρον] συγκάθεδρον. ὄρεξον] δός.

sch av 1759b ὦ μάκαιρα] ὦ Βασιλεία. χέρα p.

sch av 1760 i.m.] οἱ γὰρ ὄρνιθες πτεροῖς ἀντὶ χειρῶν ἐχρῶντο. λαβοῦσα] ἁψαμένη.

sch av 1762 κουφιῶ] βαστάξω. (corp.

sch av 1764

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τήνελα ⁒ ) τὸ "τήνελα" μίμησίς ἐστι φωνῆς ποιᾶς μουσικῆς· ὁμοίως καὶ τὸ "ἀλαλαί". ἔστι δὲ ἀπὸ τοῦ ἐφυμνίου, οὗ εἶπεν Ἀρχίλοχος εἰς τὸν Ἡρακλέα μετὰ τὸν ἆθλον Αὐγείου· τήνελα καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις αὐτός τε καὶ Ἰόλαος, αἰχμητὰ δύο. δοκεῖ δὲ πρῶτος Ἀρχίλοχος νικήσας ἐν Πάρῳ τὸν Δήμητρος ὕμνον ἑαυτῷ τοῦτον ἐπιπεφωνηκέναι. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org